eul_wid: wus-au

*Σοῦδα* · Suda

# Lexicon, Letter Φ

*Σοῦδα, Στοιχεῖον Φ*

**Period:** *Βυζαντινή* Byzantine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

φ 1 Φαβέας, ὁ καὶ Ἀμίλκας, Καρχηδονίων στρατηγός. ζήτει περὶ τούτου ἐν τῷ Ἀμίλκας.

φ 2 Φάβιος Πίκτωρ, συγγραφεὺς Ῥωμαίων. οὗτος λέγει ἄρχοντι Ῥωμαίων μὴ ἐξεῖναι μηδενὶ σφετερίσασθαι ἐκ τοῦ δημοσίου ὁτιοῦν.

φ 3 Φάβιος· ὅτι Φάβιος Μάξιμος, ὕπατος Ῥωμαίων, νεώτερος ὢν καὶ τὸν πρὸς Σαμνίτας πόλεμον ἐγκεχειρισμένος, θρασύτερον ἢ ἀσφαλέστερον τοῦ ἔργου προσαψάμενος ἐσφάλη, τρισχιλίων νεκρῶν ἀπομάχων τε πλείστων τοῖς Ῥωμαίοις γεγενημένων. ἡ δὲ βουλὴ τοῦτον παραλύει τῆς ἡγεμονίας. ὁ δὲ τούτου πατὴρ ὁμώνυμος τῷ παιδὶ πολλαῖς ἐνηθληκὼς ἀνέκαθεν στρατείαις ἐδεῖτο τῆς βουλῆς ἀνεῖναι τῷ Φαβίῳ τὰ ἐγκλήματα, αὐτὸς ἀναμάχεσθαι τὸ τοῦ παιδὸς πταῖσμα κρείττοσιν ἔργοις ὑφιστάμενος. εἴξασα ἡ βουλὴ αἰδοῖ τοῦ ἀνδρὸς ἐπιτρέπει αὖθις τῷ νέῳ τὴν τοῦ πολέμου ἡγεμονίαν, πρεσβευτὴν αὐτῷ τὸν πατέρα δοῦσα, ὡς ἂν μή τι δι’ ἀπειρίαν σφάλλοιτο. καὶ ὃς ἀφικόμενος ἐς τὴν πολεμίαν ἀριστεύει καὶ θρίαμβον κατάγει.

φ 4 Φαβωρῖνος, Ἀρλεάτου τῆς ἐν Γαλλίᾳ πόλεως, ἀνὴρ πολυμαθὴς κατὰ πᾶσαν παιδείαν, γεγονὼς δὲ τὴν τοῦ σώματος ἕξιν ἀνδρόγυνος (ὅν φασιν ἑρμαφρόδιτον), φιλοσοφίας μεστός, ῥητορικῇ δὲ μᾶλλον ἐπιθέμενος· γεγονὼς ἐπὶ Τραϊανοῦ τοῦ καίσαρος καὶ παρατείνας μέχρι τῶν Ἀδριανοῦ χρόνων τοῦ βασιλέως. ἀντεφιλοτιμεῖτο γοῦν καὶ ζῆλον εἶχε πρὸς Πλούταρχον τὸν Χαιρωνέα εἰς τὸ τῶν συνταττομένων βιβλίων ἄπειρον. γέγραπται γοῦν αὐτῷ φιλόσοφά τε καὶ ἱστορικά, ὧν πολὺς ἀριθμός. ἔστι δὲ καὶ τῶν βιβλίων αὐτοῦ ταῦτα· Περὶ τῆς Ὁμήρου φιλοσοφίας, Περὶ Σωκράτους καὶ τῆς κατ’ αὐτὸν ἐρωτικῆς τέχνης, Περὶ Πλάτωνος, Περὶ τῆς διαίτης τῶν φιλοσόφων· καὶ ἄλλα. οὗτος ἔγραψε καὶ γνωμολογικά.

φ 5 Φαβρίκιος· ὅτι Φαβρίκιος τῆς ἐπὶ τὸν Πύρρον σταλείσης δυνάμεως ἀποδείκνυται ἡγεμών· ἀνὴρ πάλαι ἐγνωσμένος τῷ βασιλεῖ καὶ τῆς αὐτοῦ μεγαλοφροσύνης ἐναργὲς ἐξενηνοχὼς σύμβολον. ἀντικαθεζομένων γὰρ ἀλλήλοις τῶν στρατοπέδων, νύκτα φυλάξας ἀνήρ τις, εἴτε ἰατρὸς εἴτε ἕτερος τῶν περὶ τὴν τράπεζαν τοῦ βασιλέως τεταγμένων, ὡς τὸν Φαβρίκιον ἀφίκετο, δηλητηρίοις φαρμάκοις ἀνελεῖν τὸν Πύρρον ὑφιστάμενος, ἤν οἵ τις δοθείη πρὸς αὐτοῦ χρημάτων ὠφέλεια· ὃν ὁ Φαβρίκιος ἀποστυγήσας τῆς ἐγχειρήσεως ἀποπέμπει τῷ Πύρρῳ δέσμιον. ἀγασθεὶς δὴ οὖν τὸ πραχθὲν ὁ Πύρρος ἀναβοῆσαι λέγεται· οὗτός ἐστι καὶ οὐκ ἄλλος Φαβρίκιος, ὃν δυσχερέστερον ἄν τις παρατρέψοι τῆς οἰκείας ἀρετῆς ἢ τῆς συνήθους πορείας τὸν ἥλιον. ὁ δὲ Πύρρος τὸν περὶ τοῦ παντὸς ἀναρρίψας κύβον τοῖς ὅλοις ἐσφάλη.

φ 6 Φαγανθρώπων: ἀκαθάρτων.

φ 7 Φαγέδαινα: νόσος λοιμική. καὶ Φαγεδαίνη, εἶδος βοτάνης.

φ 8 Φαγεῖν ζῶν· Ἰούνιος ὄνομα, εἰς τὴν ἱππάδα τελῶν καὶ φαγεῖν ζῶν συνήθης ἦν τοῖς ὑπάτοις, κοιλιοδαίμων τε καὶ ταγηνοκνισοθήρας.

φ 9 Φαγεῖν· γενικῇ. μὴ μήλου τε παράπαν φαγεῖν. ζήτει ἐν τῷ τοῦ ὁσίου Σάβα βίῳ. καὶ φάγετε· γενικῇ. ἡ παροιμία· ἔλθετε, φάγετε τῶν ἐμῶν ἄρτων.

φ 10 Φαγήματα: βρώματα. εἶδε φορτίον χλωρῶν ἀκανθῶν, ἃ καμήλοις ἐστὶ φαγήματα· ἡ δὲ τὴν κεφαλὴν καθῆκε.

φ 11 Φάγω· αἰτιατικῇ. καὶ γενικῇ σπανίως.

φ 12 Φάγωμεν καὶ πίωμεν, τὰ ἐνεργητικὰ διὰ τοῦ ω μεγάλου· τὰ δὲ παθητικὰ φάγονται καὶ πίονται διὰ τοῦ ο μικροῦ.

φ 13 Φαγύλιον: μαρσίππιον.

φ 14 Φᾶ δὲ σίδαρον παιδὸς ἑοῦ φύρδαν μεστὸν ἔχουσα φόνου.

φ 15 Φαέθοντα τόκον: ἐπιφανῆ, καὶ καταπληκτικὸν τὴν πρόσοψιν.

φ 16 Φαέθων: λάμπων, ἥλιος. Σοφοκλῆς· ποῦ ποτε κεραυνοὶ Διός, ἢ ποῦ φαέθων ἠέλιος, εἰ ταῦτ' ἐφορῶντες κρύπτουσιν ἕκηλοι; οἷον οὐκ ἄγουσιν ἐς φῶς τὴν παρανομίαν. καὶ Ὅμηρος· οὔτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης. δείκνυσι δὲ ὁ Ποιητὴς σφαιροειδῆ εἶναι τὸν κόσμον.

φ 17 Φαελλουρέα.

φ 18 Φαεσίμβροτος: ὡς φέρουσα φῶς τοῖς ἀνθρώποις.

φ 19 Φαεσφόρους: φωτοφόρους, φωτὸς παρεκτικάς, γνώσει φωτιζούσας.

φ 20 Φαεινόν: λαμπρόν. καὶ πλέγμασι φαεινοῖς ἐκδεχόμενοι τὰ τρωκτά, κάρυα καὶ βαλάνους.

φ 21 Φαείνω: λάμπω.

φ 22 Φαθί: ὀξυτόνως. ἐξόπισθεν αὐτὸ φαθὶ τοῦ μόλωμεν. αὐτόθι. Ἀριστοφάνης Ἱππεῦσι.

φ 23 Φακαῖ: τὸ ἕψημα τοῦ φακοῦ. θηλυκῶς ἡ ἑψηθεῖσα, ἀρσενικῶς δὲ ὁ ἀνέψητος. καὶ παροιμία· ἔπειτα πλουτῶν οὐκ ἔθ' ἥδεται φακῇ· προτοῦ δ' ὑπὸ τῆς πενίας ἅπαντά γ' ἤσθιεν. ἐπὶ τῶν πλουσίων γεγονότων ἀπὸ πενήτων. καὶ Φακός, τὸ ὠμὸν ὄσπριον. Φακὸς ὕδατος, εἶδος ὑδατοδόχου ἀγγείου ἐνοδίου, ὃ ἀγροικικῶς παρ' ἡμῖν ἀσκοδαῦλα λέγεται. καὶ ἐπεφέρετο παρὰ τοῦ Σαούλ, ὅτε ἐδίωκε τὸν Δαβίδ. ὅτι Φακᾶς Διοσκουρίδης ὁ ἰατρὸς ἐπεκλήθη, διὰ τοὺς ἐπὶ τῆς ὄψεως φακούς. παροιμία· Φακοῦ γωνίαν κρατεῖς· ἐπὶ τῶν ἀδυνάτων. παροιμία· Φακὸν κόπτεις· ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται.

φ 24 Φακεέ, βασιλεὺς Ἰσραήλ· ὃς ἐπολέμησε τῷ Ἄχαζ καὶ ἀνεῖλεν ἡμέρᾳ μιᾷ ἄνδρας δυνατοὺς ͵αφʹ καὶ ᾐχμαλώτευσε γυναῖκας καὶ παῖδας ͵ατʹ.

φ 25 Φάκελλον: φορτίον, ἢ εὐάλωτον. Θουκυδίδης· φοροῦντες ὕλης φακέλλους παρέβαλλον ἀπὸ τοῦ χώματος. καὶ Ἰώσηπος· φακέλλους ὕλης ξηρᾶς περιβαλὼν τῷ χωρίῳ πῦρ ἐνῆκε.

φ 26 Φάκελλον: φορτίον. ὁ δὲ Ἀπόλλων κελεύει ἀποδόσθαι τῷ Νικάνορι φάκελλον βύβλου τετρακοσίων χρυσῶν καὶ τέφραν ἐργάσασθαι καὶ βρέξαντα τῷ τῆς Μαρείας λίμνης ὕδατι ἐπιπλάσαι τοὺς ὀφθαλμούς.

φ 27 Φάκελλος: τὸ τῆς κεφαλῆς φόρεμα. ὃ καὶ φακιόλιον λέγεται. λέγεται δὲ καὶ ὁ δεσμὸς τῶν καλάμων.

φ 28 Φακιόλιον. ὅτι Κρέων ἐν τῷ πρώτῳ τῶν ῥητορικῶν κορδύλην φησὶ καλεῖσθαι παρὰ Κυπρίοις τὸ πρὸς κεφαλῆς προσείλημα· ὃ δὴ παρ' Ἀθηναίοις καλεῖται κρώβυλον, παρὰ δὲ Πέρσαις νιδάριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φ 29 Φάλα: κόσμος τῆς περικεφαλαίας.

φ 30 Φαλαγγαρχία: αἱ δύο μεραρχίαι, ἀνδρῶν ͵δϟςʹ. τοῦτο ἔνιοι καὶ ἀποτομὴν κέρατός φασιν, οἱ δὲ μέρος. πάλαι δὲ καὶ στρατηγία ἐκαλεῖτο καὶ ὁ ἡγούμενος στρατηγός, νῦν δὲ φαλαγγάρχης.

φ 31 Φάλαγγες: στίχες, τάξεις. οἱ δὲ τὸ ἐκ πλειόνων τάξεων ὁπλιτικὸν πλῆθος. λέγεται καὶ τὰ τῶν δακτύλων ἄρθρα· καὶ νεὼς ὑπερείσματα. ἔνιοι καὶ τὸ στρογγύλον ξύλον καὶ σύμμετρον φαλάγγια· λέγεται καὶ τοῦ ζυγοῦ ὁ κανὼν φάλαγξ. καὶ ἐπὶ τῆς νεὼς ἡ διαβάθρα. καὶ ὁ ἀράχνης δέ, ὃν ἔνιοι καλοῦσι φαλάγγιον. καὶ οἱ κόρακες δὲ παρὰ Ἀττικοῖς φαλάγγια.

φ 32 Φάλαγγες: αἱ τάξεις, παρὰ τὸ πελάσαι ἄγχι. φάλαγγες δὲ τῶν νεῶν, παρὰ τὸ σπᾶν εἰς ἅλα.

φ 33 Φάλαγξ: θηλυκῶς, ὁ ἀράχνης. Πλάτων Ἑλλάδι· ἐοίκασιν ἡμῖν οἱ νόμοι τούτοισι τοῖσι λεπτοῖς ἀραχνίοις, ἃ τοῖσι τοίχοισιν ἡ φάλαγξ ὑφαίνει.

φ 34 Φάλαγξ: ἀράχνιόν τι. λέγουσι δὲ φάλαγγας καὶ τὰ ἄκρα τῶν δακτύλων, ἅπερ λέγει Ἀριστοφάνης ἐν Βατράχοις· εἱλίσσετε δακτύλοις φάλαγγες ἱστότονα πηνίσματα. καὶ στρατιωτικὴ τάξις ἐκ μʹ ἀνδρῶν. Λεύκιος δὲ ὁ ὕπατος οὐχ ἑωρακὼς φάλαγγα τοπαράπαν, ἀλλὰ τότε πρῶτον ἐπὶ τοῦ Περσέως, πρός τινας πολλάκις ἀνθωμολογεῖτο τῶν ἐν τῇ Ῥώμῃ μηδὲν ἑωρακέναι φοβερώτερον Μακεδόνων φάλαγγος· καίτοι γε πολλοὺς οὐ μόνον τεθεαμένος, ἀλλὰ καὶ χειρισάμενος ἀγῶνας, εἰ καί τις ἄλλος.

φ 35 Φαλαγγηδόν: δίκην τάξεως.

φ 36 Φαλαγγίτης.

φ 37 Φαλάγγια: ζῶόν τι τῶν δακέτων ἐστὶ τὸ φαλάγγιον.

φ 38 Φαλακρός. καὶ Φαλακρότερος εὐδίας.

φ 39 Φαλακρὸν τίλλεις: ἐπὶ τῶν μάτην πονούντων.

φ 40 Φαλακρώματα.

φ 41 Φάλανθοι: φαλακροί. ἄνθος γὰρ ἡ λευκὴ θρίξ.

φ 42 Φάλαρα: τὰς προμετωπίδας, τοὺς ἀσπιδίσκους, τὴν κόσμησιν τὴν κατὰ τὸ μέτωπον τῶν ἵππων. παρὰ δὲ Ἡροδότῳ τὰ περὶ τὰς γνάθους σκεπάσματα.

φ 43 Φάλαρις, Ἀκραγαντῖνος, τυραννήσας δὲ Σικελίας ὅλης κατὰ τὴν νβʹ ὀλυμπιάδα. ἔγραψεν ἐπιστολὰς πάνυ θαυμασίας. Αἰλιανός φησι περὶ τούτου, ὅτι Λοξίας δὲ καὶ Ζεὺς πατὴρ ἀναβολὴν θανάτου ἐψηφίσαντο ἔτη δύο Φαλάριδι, ἀνθ’ ὧν ἡμέρως Χαρίτωνι καὶ Μελανίππῳ προσηνέχθη.

φ 44 Φαλλάκιον: ποίημα αὐτοσχέδιον, ἐπὶ τῷ φαλλῷ ᾀδόμενον. καὶ Φάλαικος.

φ 45 Φάλεκ: κατὰ τὴν προφητικὴν φωνὴν τὸ ἥμισυ λέγεται τοῦ χρόνου τῆς τοῦ Χριστοῦ παρουσίας· ἀπὸ γὰρ Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ ἐπὶ Νῶε ἔτη ͵βσμβʹ, ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τοῦ Φάλεκος ἔτη ψνηʹ, ὡς γίνεσθαι ἔτη ͵γʹ· ἀπὸ γὰρ κτίσεως κόσμου μέχρι τῆς ἀναλήψεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτη ͵ςʹ.

φ 46 Φαληρεύς: πολίτης Φαλήρων. Φάληρον δὲ λιμὴν τῆς Ἀττικῆς.

φ 47 Φαληριόωσα: εἰς ὕψος ἐπαιρομένη.

φ 48 Φαληρίς: ὄρνις λιμναία. ἐσχημάτισται δὲ παρὰ τὸ φάλον. καὶ Φαληρῖται, ἔθνος.

φ 49 Φάληροι: δῆμος τῆς Ἀντιοχίδος. ἀφ’ οὗ ὁ δημότης Φαληρεύς.

φ 50 Φαλῆς: ὡς Ἑρμῆς. Φαλῆς, Φαλῆτος. ὥσπερ Ὅμηρος ἥρμοσε κατάπληξιν τῇ φυγῇ καὶ ἑταίραν αὐτῆς ἔφησεν εἶναι, θεσπεσίη ἔχε φύζα (εἰπών), φόβου κρυόεντος ἑταίρη· οὕτω καὶ ὁ Κωμικὸς ἐκεῖθεν λαβὼν τὰς ἀφορμὰς Διονύσῳ Φαλῆν ἑταῖρον εἶναί φησιν· ἀκόλουθα γὰρ Διονυσιακῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πότῳ τὰ ἀφροδίσια. Φαλλίονες δὲ εἰς τιμὴν τοῦ Διονύσου ἐπὶ γέλωτι στρατευόμενοι, οὕτω καλούμενοι ἀπὸ τῶν φαλλῶν τοῦ Διονύσου. πολλίωνας δὲ ὕστερον αὐτοὺς παραφθείροντες τὸ ὄνομα ὀνομάζουσιν.

φ 51 Φαλλικά: τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη.

φ 52 Φαλίσκοι· ζήτει ἐν τῷ ἁρμοσταί.

φ 53 Φαλκίδιος: νόμος ἐστὶ παρὰ καίσαρος τεθεὶς Γαΐου Ὀκταβίου, πλείστην καὶ νῦν ἰσχὺν ἔχων εἰς τὰς τῶν κλήρων διαδοχάς, πρὸς Φαλκιδίου τοῦ δημάρχου εὑρημένος.

φ 54 Φάλκων, Φάλκωνος: ὄνομα. καὶ εἶδος ἱέρακος.

φ 55 Φαλκωνίλλα: ὄνομα κύριον.

φ 56 Φάλον: τὸ προμετωπίδιον.

φ 57 Φάλος: βῶλος· ἢ λόφος· ἢ ἡ ὑπερέχουσα πέτρα ἐν θαλάσσῃ.

φ 58 Φαλλοφόροι: ἰθύφαλλοι, αὐτοκάβδαλοι. ἰδέαι μουσικῶν. καὶ οἱ μὲν κιττοῦ στέφανον ἐφόρουν, οἱ δὲ Ἰθύφαλλοι προσωπεῖα μεθυόντων εἶχον καὶ χειρῖδας ἀνθινάς, καὶ χιτῶνα μέχρι τῶν σφυρῶν. οἱ δὲ Φαλλοφόροι ἐκ βύβλου δέρματος ἔσκεπον τὰς ὄψεις, κιττῷ καὶ ἴοις στεφανούμενοι.

φ 59 Φαλλοί: μόρια δερμάτινα. ἢ ξύλον ἐπίμηκες, ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον.

φ 60 Φαλλοί: αἰδοῖον σύκινον. ὕστερον δὲ ἐκ δερμάτων ἐρυθρῶν, σχῆμα αἰδοίου ἔχοντες ἀνδρείου. καὶ τοῦτο ἑαυτοῖς περιθέμενοι ἔν τε τοῖς τραχήλοις καὶ μέσοις τοῖς μηροῖς ἐξωρχοῦντο, τιμὴν τῷ Διονύσῳ ἐν τοῖς Διονυσίοις ἄγοντες.

φ 61 Φαλοί: τὰ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρὰ ἀσπιδίσκια. λόφοι δὲ αἱ τριχώσεις.

φ 62 Φαμέας: ὄνομα κύριον. τὰς προφυλακὰς βλέπων ὁ Φαμέας, ὢν οὐκ ἄψυχος ἐξέκλινε τὰς πρὸς τὸν Σκιπίωνα συμπλοκάς.

φ 63 Φαμέν: λέγομεν.

φ 64 Φάμωσσα. ἀπέσκωπτον δὲ εἰς Ἰοβιανὸν ᾠδαῖς καὶ παρῳδίαις καὶ τοῖς λεγομένοις φαμώσσοις

φ 65 Φανάς: τὰς ἐκλάμψεις.

φ 66 Φάναι: ἐν αὑτῷ ὑπολαμβάνειν· τὸ δὲ λέγειν ἑτέρῳ δηλοῦν.

φ 67 Φάναι: εἰπεῖν.

φ 68 Φάναι: τὸ εἰπεῖν. Φᾶναι δὲ τὸ λάμψαι.

φ 69 Φανερῶ· αἰτιατικῇ.

φ 70 Φανερῶς: ἐναργῶς, ἑτοίμως. Ἀριστοφάνης Νεφέλαις· φανερῶς ἠκούσατέ μου καλέσαντος.

φ 71 Φανή: λαμπρά, καθαρά. Ἀριστοφάνης· ἵνα μὴ ̓γχέσαιμ' εἰς τὴν σισύραν· φανὴ γὰρ ἦν.

φ 72 Φάνης: ἐν τοῖς Ὀρφικοῖς εἰσηνέχθη ὁ Φάνης, αἰδοῖον ἔχων περὶ τὴν πυγήν· ὃν ἔλεγον ἔφορον τῆς ζῳογόνου δυνάμεως. καὶ ὁ Ἠρικαπαῖος ἕτερον, καταπιόντα πάντας τοὺς θεούς, ὡς τὸν Κρόνον.

φ 73 Φανίας ἢ Φαινίας, Ἐρέσιος, φιλόσοφος Περιπατητικός, Ἀριστοτέλους μαθητής. ἦν δὲ ἐπὶ τῆς ρια' ὀλυμπιάδος καὶ μετέπειτα, ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος.

φ 74 Φανίας: ὄνομα κύριον, τῶν ἐστρατηγηκότων τις οὕτως ἐκαλεῖτο.

φ 75 Φάνιον: τόπος, εἰς ὃν τὰ καθάρματα ἐξέβαλλον.

φ 76 Φανόδημος: ὄνομα κύριον.

φ 77

Φανός: φαεινός. καταγγέλλων καὶ φανερὰ ποιῶν τὰ πράγματα καὶ μηνύων. ἢ ἀπὸ τοῦ φαίνειν, ὅ ἐστι συκοφαντεῖν. ὅπως ἔσομαί σοι φανὸς ὑπογραφεὺς δικῶν. Φανὸν δὲ πᾶν τὸ φαῖνον ἐκάλουν. ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον. διὸ λέγεται φανὸς ἀμπέλου.

φ 78 Φανοστράτη: θηλυκόν. Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν Ἀθήνησιν ἑταιρῶν ταύτην φησὶν ἐπονομάζεσθαι Φθειροπύλην, ἐπειδὴ ἐπὶ τῆς πύλης ἑστῶσα ἐφθειρίζετο.

φ 79 Φανότερον: λαμπρότερον.

φ 80 Φανοτεῦσιν· ὡμολόγησε τὴν ἄκραν αὐτοῖς παραδώσειν τὴν ἐν τοῖς Φανοτεῦσιν.

φ 81 Φανῶν: κατηγορήσων. Ἀριστοφάνης· μικρός γε μῆκος οὗτος, ἀλλ' ἅπαν κακόν. τὸν Νίκαρχόν φησι.

φ 82 Φαντάζομαι: συκοφαντοῦμαι. οὕτως Ἀριστοφάνης. πλέω τοῦ φαντασθέντος ἦν ὃ διέφυγεν. οἱ παλαιοὶ τὸ φαντάζεσθαι ἐπὶ τοῦ φαίνειν ἔλεγον.

φ 83 Φαντασία: ὑπόληψις. εἰδὼς γάρ, ὅτι φαντασία περὶ αὐτόν ἐστιν, ὡς ἔχοντα χρήματα μεθ' ἑαυτοῦ, πλείω ἡρμόσατο πρὸς τὴν ὑπόθεσιν ἐνδεχομένως. καὶ αὖθις· οἱ δὲ Ῥωμαῖοι μετὰ μεγάλης φαντασίας καὶ συμπαθείας τοῦ δήμου προῆγον ἐπὶ τὰς πράξεις.

φ 84 Φαντασία· γνωστικαὶ καὶ ζωτικαὶ καὶ ὀρεκτικαὶ δυνάμεις τῆς ψυχῆς· φαντασία καὶ αἴσθησις. διαφέρουσι δὲ ἀλλήλων, ὅτι ἡ μὲν αἴσθησις πρὸς τὸ ἐκτὸς ἀποτείνεται, ἡ δὲ φαντασία ἔνδον ἔχει τὴν γνῶσιν. καὶ ἡ μὲν αἴσθησις τὸ παρὸν μόνον καὶ οὗ ἀντιλαμβάνεται ἔξωθεν τοῦτο οἶδεν, ἡ δὲ φαντασία παρὰ τῆς αἰσθήσεως λαβοῦσα τῶν αἰσθητῶν τοὺς τύπους ἐν ἑαυτῇ τούτους ἀναπλάττει· ὅθεν καὶ παθητικὸν νοῦν Ἀριστοτέλης αὐτὴν καλεῖ, νοῦν μὲν ὡς ἔνδον ἔχουσαν τὸ γνωστὸν καὶ ἁπλῇ προσβολῇ, ὥσπερ ἐκεῖνος, ἐπιβάλλουσαν· παθητικὸν δέ, διότι μετὰ τύπων, καὶ οὐκ ἀσχηματίστως. ἐκλήθη δὲ φαντασία, οἱονεὶ φαοστασία τις οὖσα· φαντασία γάρ ἐστιν ἡ τῶν φανθέντων στάσις· ἵστησι γὰρ ἐν αὐτῇ τὰ ἔξω φανέντα. ἑκατέρα δὲ αὐτῶν περὶ μερικὰ ἀποτείνεται· τὸ γὰρ λευκὸν οἶδεν, οὐ μὴν πᾶν λευκόν. διαφέρει δέ, ὅτι ἡ μὲν τὸ ἔξω, ἡ δὲ τὸ ἐντὸς οἶδε. καὶ ἡ μὲν φαντασία τῶν ε' αἰσθήσεων δέχεται τοὺς τύπους, ἑκάστη δὲ τῶν αἰσθήσεων μόνον τὸ ἴδιον αἰσθητὸν γινώσκει.

φ 85 Φαντασία καὶ φάντασμα διαφέρει: φάντασμα μὲν γάρ ἐστι δόκησις διανοίας, οἷα γίνεται κατὰ τοὺς ὕπνους· φαντασία δὲ τύπωσις ἐν ψυχῇ, τουτέστιν ἀλλοίωσις. οὐ γὰρ δεκτέον τὴν τύπωσιν, οἱονεὶ τύπον σφραγιστῆρος· ἐπεὶ ἀνένδεκτόν ἐστι πολλοὺς τύπους κατὰ τὸ αὐτὸ περὶ τὸ αὐτὸ γίνεσθαι. νοεῖται δὲ φαντασία ἡ ἀπὸ ὑπάρχοντος κατὰ τὸ ὑπάρχον ἐναπομεμαγμένη καὶ ἐναποτετυπωμένη καὶ ἐναπεσφραγισμένη, οἵα οὐκ ἂν γένοιτο ἀπὸ μὴ ὑπάρχοντος. τῶν δὲ φαντασιῶν αἱ μέν εἰσιν αἰσθητικαί, αἱ δὲ οὔ· αἰσθητικαὶ μὲν αἱ δι' αἰσθητηρίου ἢ αἰσθητηρίων λαμβανόμεναι, οὐκ αἰσθητικαὶ δὲ αἱ διὰ τῆς διανοίας, καθάπερ τῶν ἀσωμάτων καὶ τῶν ἄλλων λόγῳ λαμβανομένων.

φ 86 Φαντασιοσκοπεῖς.

φ 87 Φαντασίωνος.

φ 88 Φάος: φῶς. ὦ φάος ἁγνὸν καὶ γῆς ἰσόμοιρος ἀήρ· ὥς μοι πολλὰς μὲν θρήνων ᾠδάς, πολλὰς δ' ἀντήρεις ᾔσθου στέρνων πληγὰς αἱμασσομένων, ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ. ἡ Ἠλέκτρα φησί. λέγει δέ, ὅτι οὐ διαλείπω νυκτὸς καὶ ἡμέρας κλαίουσα. καὶ αὖθις· ἥδιστον φάος ἡμέρας ἔσται τοῖς παροῦσι. καὶ ζήτει ἐν τῷ φόως.

φ 89 Φάων: φασὶν ἐπὶ τῶν ἐρασμίων καὶ ὑπερηφάνων. τοῦ γὰρ Φάωνος ἐρασθῆναί φασι σὺν πολλοῖς καὶ Σαπφώ, οὐ τὴν ποιήτριαν, ἀλλὰ Λεσβίαν, καὶ ἀποτυγχάνουσαν ῥίψαι ἑαυτὴν ἀπὸ τῆς Λευκάδος πέτρας.

φ 90 Φάραγξ: τὸ τῆς γῆς βάραθρον, ὅπερ, ὅταν ὕδωρ δέξηται ἀφανίζει αὐτό.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φ 91 Φάραγξ: ἡ κοιλότης τῆς γῆς. ἀρσενικῶς. τοῦ Περσικοῦ τὴν ἐπιφορὰν ἀποκλίνοντος, διὰ τὸν παραβραβεύοντα φάραγγα. τουτέστι διορίζοντα. Φάρυγξ δέ, φάρυγγος, γράφουσιν οἱ πολλοί.

φ 92 Φαραώ: οὕτως ἐκαλοῦντο πάντες οἱ βασιλεῖς Αἰγύπτου, ἀπὸ Φαραώ.

φ 93 Φαρές: ὄνομα κύριον.

φ 94 Φαρισαῖοι: οἱ ἑρμηνευόμενοι ἀφωρισμένοι παρὰ τὸ μερίζειν καὶ ἀφορίζειν ἑαυτοὺς τῶν ἄλλων ἁπάντων εἴς τε τὸν καθαρώτατον τοῦ βίου καὶ ἀκριβέστατον καὶ εἰς τὰ τοῦ νόμου ἐντάλματα. τὸν δὲ αὐτὸν βίον μετήρχοντο καὶ οἱ γραμματεῖς, παρ' οἷς καὶ πολιτεία ἡ αὐτὴ ἐγκράτειά τε καὶ παρθενία, νηστεία δὶς τοῦ σαββάτου, ξεστῶν καὶ πινάκων καὶ ποτηρίων καθαρισμοὶ ἀποδεκατώσεις τε καὶ ἀπαρχαὶ καὶ ἐνδελεχεῖς εὐχαὶ καὶ τὰ λοιπά, ὑπεξαιρουμένων δηλονότι τῶν θαυμασίων Ἐσσαίων ὡς ὑπερτέρων σφόδρα καὶ λίαν ὑπερκειμένων. ἣν δὴ Φαρισαϊκὴν ὡς ἄριστον πολιτείαν ὁ Παῦλος ζηλώσας εὖ μάλα σεμνύνεται, φάσκων, Ἰσραηλίτης εἰμὶ φυλῆς Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ τὸν νόμον Φαρισαῖος.

φ 95 Φαρισεὺς καὶ Φαρισαῖος.

φ 96 Φαρέτρα: βελοθήκη. οἱονεὶ φάρος τῶν τιτρωσκόντων. τουτέστι περιβόλαιον· ἀπὸ τοῦ φέρεσθαι.

φ 97 Φαρμακᾶς: μυρεψεῖς.

φ 98 Φαρμακεύς. τοὺς οἰνοχόους τούσδε ἡγησάμενοι φαρμακεῖς καὶ πιστεύσαντες τεθνάναι τοὺς καθεύδοντας, τοὺς Αἰτωλοὺς ἀπέκτεινε. φαρμακεῦσί τε πατρῴοις πολλὰ ὡμιληκυῖα.

φ 99 Φαρμακεύω· αἰτιατικῇ.

φ 100 Φαρμακεία· φαρμακεία λέγεται, ὅταν διά τινος σκευασίας θανατηφόρου πρὸς φίλτρον ἢ ἄλλως δοθῇ τισι διὰ στόματος. ὅτι γοητεία καὶ μαγεία καὶ φαρμακεία διαφέρει. καὶ ζήτει ἐν τῷ γοητεία.

φ 101 Φαρμακείας: γοητείας. πάντα δ' ἦν πλήρη ἀρχομένης φαρμακείας ῥιπτούντων ἑαυτοὺς ἐς τὰ φρέατα καὶ κατὰ κρημνῶν.

φ 102 Φαρμακίας: ὄνομα κύριον.

φ 103 Φάρμακον: παραμυθία, ὁμιλία, εἴρηται δὲ ἀπὸ τοῦ φέρειν τὴν ἄκεσιν· εἴρηται δὲ ἀπὸ τῶν ἀνθέων. Φάρμακον λέγεται, ὅπερ Μῆδοι μὲν νάφθαν καλοῦσιν, Ἕλληνες δὲ Μηδείας ἔλαιον. ἀγγεῖον δὲ θείου τε καὶ ἀσφάλτου ἐμπλησάμενοι καὶ φαρμάκου, ὅπερ Μῆδοι νάφθαν καλοῦσι. καὶ αὖθις· πίττα τε ἦν καὶ θεῖον καὶ ὅσα φάρμακα δυνατὰ ἦν κινῆσαι φλόγα πολλήν. Ἀριστοφάνης· οὐδ' ἂν εἰ τὸ φάρμακον ἔτυχες, ᾧ Λυσικράτης μελαίνεται. ὡς τοῦ Λυσικράτους φαρμάκῳ τινὶ μελαίνοντος αὐτοῦ τὰς πολιάς.

φ 104 Φαρμακός: ὁ ἐπὶ καθαρμῷ πόλεως ἀναιρούμενος· ὃν λέγουσι κάθαρμα. καὶ Φαρμακοῖσιν. Ἀριστοφάνης· πονηροῖς κἀκ πονηρῶν εἰς πάντα χρώμενος, οἷσιν ἡ πόλις προτοῦ οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως χρήσαιτ' ἄν. τουτέστι τοῖς λεγομένοις καθάρμασι.

φ 105 Φαρμακός: ὄνομα κύριον. Λυσίας φησί. δύο ἄνδρας Ἀθήνησιν ἐξῆγον καθάρσια ἐσομένους τῆς πόλεως ἐν τοῖς Θαργηλίοις, ἕνα μὲν ὑπὲρ τῶν ἀνδρῶν, ἕνα δὲ ὑπὲρ τῶν γυναικῶν. ὅτι δὲ ὄνομα κύριόν ἐστιν ὁ Φαρμακός, δῆλον· ἱερὰς γὰρ φιάλας τοῦ Ἀπόλλωνος κλέψας καὶ ἁλοὺς ὑπὸ τῶν περὶ τὸν Ἀχιλλέα κατελεύσθη· καὶ τὰ τοῖς Θαργηλίοις ἀγόμενα τούτων ἀποτμήματά ἐστιν. Ἴστρος ἱστορεῖ. Δημοσθένους δὲ ἐν τῷ κατὰ Ἀριστογείτονος λέγοντος, οὗτος οὖν αὐτὸν ἐξαιρήσεται ὁ φαρμακός· Δίδυμος προπερισπᾶν ἀξιοῖ τοὔνομα. ἀλλ' ἡμεῖς οὐχ εὕρομεν οὕτω που τὴν χρῆσιν. Φαρμάκοντα δὲ Δημοσθένης κατὰ Στεφάνου ἔφη. ἔστι δὲ φαρμάκων ὁ ὑπὸ φαρμάκων βεβλαμμένος· ὡς καὶ Θεόφραστος ἐν ιε' Νόμῳ ὑποσημαίνει.

φ 106

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φαρμακούς: τοὺς δημοσίᾳ τρεφομένους, οἳ ἐκάθαιρον τὰς πόλεις τῷ ἑαυτῶν φόνῳ. Ἀριστοφάνης· ὥσπερ δημοσίους τρέφεις· κᾆθ’, ὅταν μή σοι τύχοι ὄψον ὄν, τούτων ὃς ἂν ᾖ παχύς, θύσας ἐπιδειπνεῖς.

φ 107 Φαρμάκοισι: παρὰ Ἡροδότῳ, ἀντὶ τοῦ βαφαῖς.

φ 108 Φαρμάξας: ποτίσας, γοητεύσας. καὶ Φαρμαχθείς, ἡ μετοχή.

φ 109 Φαρμάττων: γοητεύων. ὁ ἄνθρωπος οὗτος, ἐκδειματῶν καὶ φαρμάττων σφίσι τὸ στρατόπεδον.

φ 110 Φαρμουθί: παρ’ Αἰγυπτίοις, κατὰ Ῥωμαίους Ἀπρίλλιος.

φ 111 Φάρνουτις: ποταμός, ὁ τῇ Νικαίᾳ παραρρέων.

φ 112 Φάρος: ἱμάτιον, περιβόλαιον· ἀπὸ τοῦ φέρεσθαι· ἢ τῇ ὑφῇ ἀρηρέναι. λέγεται δὲ ἐπὶ γυναικός.

φ 113 Φάρος: ποταμὸς Κιλικίας, οὗ τὸ εὖρος πλέθρα γʹ. καὶ Πύραμος, ποταμός, οὗ τὸ εὖρος στάδιον. καὶ Χάλος, ποταμός, οὗ τὸ εὖρος πλέθρου, πλήρης ἰχθύων μεγάλων καὶ πραέων.

φ 114 Φάρος: ἀρσενικῶς λεγόμενος, τὸν ἐν Ἀλεξανδρείᾳ Φάρον σημαίνει· ὃν ἀνέστησεν ἐπὶ Πτολεμαίου βασιλέως Αἰγύπτου Σώστρατος Δεξιφάνους, Κνίδιος, ἐν Φάρῳ τῇ νήσῳ Πρωτέως· ὅτε καὶ Πύρρος ὁ ὑπὸ Ἀχιλλέως τὴν δυναστείαν τῆς Ἠπείρου παρείληφεν.

φ 115 Φαρσαλίσι· καὶ τὸν Ἀχιλλείοις Φαρσαλίσιν Ἕκτορα πώλοις ὀστέα Δαρδανικῷ δρυπτόμενον πεδίῳ.

φ 116 Φάρσος: κλάσμα, τρύφος, ῥάκος, πτερύγιον, ἀκρωτήριον. καὶ φιλοδούπου φάρσος ἅμα στελεοῦ χῆρον ἐλαϊνέου.

φ 117 Φάρυγξ, φάρυγγος γράφουσιν οἱ πολλοί. Φάρυγξ· ὅτε μὲν θηλυκῶς λέγεται, σημαίνει τὴν κυρίως φάρυγγα· ἡ δέ ἐστιν ἡ ἀχανία ἡ μετὰ τὴν τῆς γλώττης ῥίζαν· ὅτε δὲ ἀρσενικῶς, σημαίνει πολλάκις τὸν λάρυγγα. ἔστι δὲ ὁ λάρυγξ τὸ ἔσχατον τῆς τραχείας ἀρτηρίας, ὅπερ ὑπὸ τῶν τριῶν χόνδρων περιέχεται, τοῦ τε ἀρυταινοειδοῦς καλουμένου καὶ τοῦ θυροειδοῦς καὶ τοῦ ἀνωνύμου, οἵτινες συστελλόμενοι καὶ διαστελλόμενοι ὑπὸ τῶν ἐκεῖ μυῶν τὴν φωνὴν ῥυθμίζουσιν. ὑπὸ γὰρ τῆς τοιᾶσδε τούτων ἀναστολῆς καὶ διαστολῆς ἢ μᾶλλον ἢ ἧττον εἰδοποιεῖται ἡ φωνὴ κατά τε τὸ ὀξὺ καὶ τὸ βαρύ, καὶ εἴ τι ἄλλο εἶδος περὶ αὐτὴν θεωρεῖται.

φ 118 Φάς: εἰπών.

φ 119 Φασάηλος: ὄνομα κύριον.

φ 120 Φάσγανον: ξίφος. καὶ ψῆκτραν ἄκιτιν ἀπέπτυσε καὶ λιποκόπρους φασγανίδας καὶ τοὺς συλόνυχας ὄνυχας.

φ 121 Φάσηλις: ὄνομα νήσου. καὶ Φασηλίτης, ὁ ἀπὸ τῆς αὐτῆς νήσου. καὶ παροιμία· Φασηλιτῶν θῦμα, ἐπὶ τῶν εὐτελῶν καὶ ἀναίμων τίθεται· Φασηλίτας γὰρ τάριχον τῷ Καλαβρῷ θύειν φησὶ Καλλίμαχος ἐν Βαρβαρικοῖς νομίμοις. ἄφευε τῶν φασηλῶν, ὦ γύναι, τρεῖς χοίνικας.

φ 122 Φασί: λέγουσι. Φᾶσις δὲ ποταμὸς Σκυθίας. καὶ λέξις, μήνυσις· ἢ δημόσιον ἔγκλημα· φήμη, λόγος. μηδαμῆ μηδέ φασιν ὑπάρχειν νοτίδος. καὶ Φασιανοί, οἱ οἰκήτορες τοῦ τόπου. καὶ Φασιανοὶ κατάλογοι, οἱ ἀπὸ τοῦ Φάσιδος, παρὰ Μενάνδρῳ.

φ 123 Φασιάδης.

φ 124 Φασιανικός· Ἀριστοφάνης Ὄρνισιν· ἐπικεχοδὼς ἔγωγε φασιανικός. συκοφάντης· παρὰ τὸ φαίνειν, μετὰ φασιανῶν εὑρισκόμενος. ἔστι δὲ καὶ τοῦτο ὄνομα. ἔπαιξε δέ, παρὰ τὸ φαίνεσθαι αὐτοῦ τὸ σκῶρ. φασιανὸς οὖν ὁ συκοφάντης, παρὰ τὴν φάσιν, ἢ παρὰ τὸ φαίνειν. ἔστι δὲ καὶ πόλις Σκυθίας Φᾶσις, ὁμώνυμος τῷ ποταμῷ.

φ 125 Φασιανοί: ἀλεκτρυόνες, καὶ ὄρνεις τινές. Ἀριστοφάνης· εἰ δοίης μοι τοὺς φασιανούς, οὓς τρέφει Λεωγόρας. ἐπὶ τῶν εἴς τι πρᾶγμα ἀπαγορευόντων. οὐκ εἰσὶ δὲ ἵπποι φασιανοί, ἀλεκτρυόνες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέντοι. ἵπποι δέ τινες εἰσίν, ἀλεκτρυόνας κεχαραγμένοι. τούτους οὖν λέγει. Λεωγόρας δὲ ὄνομα κύριον, ἑνὸς τῶν Ἀθήνησι πολιτευομένων τότε· πατὴρ δὲ οὗτος ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δέ, εἰ καὶ ὄρνεα ἔτρεφεν ὁ Λεωγόρας. ἔνιοι δὲ ἀξιοῦσιν ἵππους εἶναι τοὺς φασιανούς. καὶ εἴπερ ἐστὶ τοῦτο μὴ κατεψευσμένον, οἰκεῖον ἂν εἴη τοῦτο τῆς τοῦ νεανίσκου σπουδῆς. οἱ δὲ περὶ Ἀρχίλοχον ὀρνίθων τι γένος. ὁ δὲ Λεωγόρας τρυφερός τις, Πλάτων λέγει· ὦ θεῖε Μώρυχε· τέως γὰρ εὐδαίμων ἔφυς, καὶ Γλαυκέτης, ἡ ψῆττα, καὶ Λεωγόρας, οἳ ζῆτε τερπνῶς, οὐδὲν ἐνθυμούμενοι. Εὔπολις ἐν Αὐτολύκῳ, ὡς καὶ διὰ Μυρρίναν ἑταίραν τὰ χρήματα ἀποβεβληκότα. φασιανοὶ δὲ οἱ ἔχοντες τῷ μηρῷ φασιανὸν ἵπποι. Φᾶσις δέ ἐστι ποταμὸς Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται. Φάσις δὲ καὶ μήνυσις, ἀγγελία. καὶ κλίνεται φάσιος. Φάσις ἐστίν, ἣν ποιεῖταί τις πρὸς τὸν δοκοῦντα ὑπορύττειν δημόσιον μέταλλον ἢ χωρίον ἢ οἰκίαν ἢ ἄλλο τι τῶν δημοσίων. ἔτι δὲ καὶ οἱ τοὺς ἐπιτρόπους τῶν ὀρφανῶν αἰτιώμενοι παρὰ τοῖς ἄρχουσιν, ὡς οὐ δεόντως μεμισθωκότας τὸν ὀρφανὸν οἶκον, προφαίνειν λέγονται.

φ 126 Φάσις: λέγεται μὲν καὶ ἐπὶ δημοσίου ἐγκλήματος, ὅταν τις ἀποφαίνῃ τι τῶν δημοσίων ἔχοντά τινα μὴ πριάμενον, λέγεται δὲ καὶ ἐπὶ τῶν ὀρφανικῶν οἴκων. ὅτε γὰρ μὴ ἐκμισθώσαιεν οἱ ἐπίτροποι τὸν οἶκον τῶν ἐπιτροπευομένων, ἔφαινεν αὐτὸν ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα, ἵνα μισθωθῇ· ἔφαινε δὲ καὶ εἰ ἐλάττονος ἢ κατὰ τὴν ἀξίαν μεμίσθωτο. τοῦ μὲν οὖν προτέρου τὰ μαρτύρια ἔνεστιν εὑρεῖν παρά τε Δεινάρχῳ καὶ Δημοσθένει, τῆς δὲ περὶ τῶν ὀρφανικῶν οἴκων φάσεως παρὰ Λυσίᾳ Πρὸς τὴν φάσιν τοῦ ὀρφανικοῦ οἴκου.

φ 127 Φασκώλιον: ἱμάτιον, φορεῖον. φάσκωλον δέ ἐστι μαρσίππιον. ὡς Ἰσαῖος καὶ Λυσίας εἴρηκεν. ἢ δημόσιον χρῆμα, τὸ συναχθὲν εἰς ἀπόθεσιν. καὶ πρός γε μεστὸν κατὰ τὸ πλέον καὶ ἐμβριθέστερον ποιῶν τὸ φασκώλιον. Ἀγαθίας ἐν ἱστορίᾳ. ὁ δὲ τρίποδας ρʹ ἐκπονήσας καὶ ἐμβαλὼν εἴς τι φασκώλιον.

φ 128 Φάσκων· δοτικῇ. λέγων.

φ 129 Φάσμα· ὁ δὲ ἕτερος ταῦρος ἐμυκήσατο, κακὸν φώνημα Γάρμῳ. καὶ ἔδοξε τράγος εἶναι μὴ ταῦρος ἐκεῖνο τὸ φάσμα.

φ 130 Φατέ: λέγετε. Πολύβιος· φατέον, ἡγεμόνος ἀγαθοῦ ἔργον εἶναι τὸ μὴ δεῖν μηδέποτε χωρὶς προθέσεως μηδ’ ἐκ πάσης ἀφορμῆς ποιεῖσθαι τοὺς ὁλοσχερεῖς κινδύνους, καὶ μάλιστα, εἰ τυγχάνοι τις ὢν ἀπαράσκευος.

φ 131 Φάτις: φήμη, λόγος. Σοφοκλῆς· ἀλλ’ ἀπερύκοι Φοῖβος Ἀργείων φάτιν. τὴν νόσον τοῦ Αἴαντος. καὶ αὖθις· φθεῖσθαι Ἀλέξανδρον ψευδὴς φάτις, εἴπερ ἀληθὴς Φοῖβος. ἀνικήτων ἅπτεται οὐδ’ Ἀΐδης. καὶ αὖθις Σοφοκλῆς· τὴν δ’ ὅταν κλύῃ φάτιν. τὴν ῥῆσιν.

φ 132 Φάτνη: ἡ τράπεζα. τὴν Ἀντωνίου θεραπεύων καὶ ὑπαικάλλων ἅμα φάτνην. Αἰλιανός· καὶ οἱ Μεσσήνιοι τοὺς ἐκ τῆς αὐτῆς φάτνης οἱονεὶ ἐδηδοκότας ἐξήλασαν (τουτέστι τοὺς Ἐπικουρείους), λυμεῶνας τῶν νέων εἶναι λέγοντες.

φ 133 Φατνώματα: σανιδώματα, στέγη διάγλυφα.

φ 134 Φατνωτόν: σανιδωτόν.

φ 135 Φάτορες· Ἀριστοφάνης· φυσάτω πάππους πᾶρ’ ἡμῖν καὶ φανοῦνται φάτορες.

φ 136 Φατρία: σύνταγμα. ἡ φυλὴ διῄρηται εἰς δʹ κατὰ τὰς δʹ ὥρας τοῦ ἐνιαυτοῦ· ἑκάστη δὲ διαίρεσις εἰς γʹ, ὡς γίνεσθαί φαμεν ιβʹ κατὰ τοὺς ιβʹ μῆνας τοῦ ἐνιαυτοῦ· καλεῖσθαι δὲ τριττύας καὶ φατρίας. Ἀναστάσιος Σελεντιάριος, ὁ μετέπειτα βασιλεύσας, ἐπὶ Εὐφημίου πατριάρχου Κωνσταντινουπόλεως καθέδραν κατασκευάσας μετά τινων ἐφατρίαζεν. ὁ δὲ Εὐφήμιος μετὰ ἀπειλῆς λέγει αὐτῷ ἢ ἐν τῇ ἐκκλησίᾳ θαμίζοντα τὰ ταύτης φρονεῖν ἢ μηδόλως ἐπιβαίνειν πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ διαστρέφειν τοὺς ἀπειροτέρους· εἰ δὲ παρὰ ταῦτα πράξειας, ἐκτεμών σου τὴν κόμην τοῖς δήμοις σε θριαμβεύσω. ἔκτοτε ἡσυχίαν ἦγεν· ἀντείχετο γὰρ τῆς Εὐτυχοῦς δόξης.

φ 137 Φαύλη κηλίς· Ἀρριανός· ἐδεδίει μὴ διαφθαρῇ ὁ στόλος Ἀλεξάνδρου, καὶ οὐ φαύλη κηλὶς αὕτη τοῖς ἔργοις αὐτοῦ τοῖσι μεγάλοισιν ἐπιγενομένη τὴν πᾶσαν εὐτυχίαν αὐτοῦ ἀφανίσοι· ἀλλ' ἐκνικῆσαι γὰρ αὐτῷ τὴν ἐπιθυμίαν τοῦ καινόν τι ἀεὶ καὶ ἄτοπον ἐργάζεσθαι. φαύλη οὖν κηλὶς οὐχ ἡ τυχοῦσα.

φ 138 Φαυλία: ἡ κότινος. καὶ ἁπλῶς εἶδος ἐλαίας.

φ 139 Φαυλίζει: εὐτελίζει, χλευάζει.

φ 140 Φαῦλον: φλύαρον, ἀηδές, δύσφημον.

φ 141 Φαῦλον: τὸ ἁπλοῦν, εὐχερές. καὶ Εὐριπίδης ἐν τῷ Λικυμνίῳ· φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν. ἁπλοῦν καὶ ἀπόνηρον λέγων. ἔστι δ' ὅτε τίθεται καὶ ἐπὶ κακοῦ καὶ τοῦ τυχόντος. Πλάτων ἐν τῷ Περὶ ψυχῆς· φαῦλον πρᾶγμα, ἔφη, Κέβης, ζητεῖς. τεθείη δ' ἂν καὶ ἐπὶ τοῦ τυχόντος. οἷον, φαῦλον πρᾶγμα ἔσται τὸ τυχὸν πρᾶγμα. καὶ ἐπὶ τοῦ ἁπλῶς τεθείη ἂν πρὸς τὸ οὕτω τυχόν. Πλάτων· πρᾶγμα δ' ἔσται, ὡς ἔοικεν, οὐ φαῦλον οὐδὲ μικρᾶς δεόμενον ἀρετῆς. τάττοιτο δ' ἂν καὶ ἐπὶ τοῦ μοχθηροῦ, ὅταν ἀντιδιαστέλληται πρὸς τὸ σπουδαῖον. ὡς Πλάτων· δοῦλοι δ' ἂν δεσπόταις οὐδέποτ' ἂν γένοιντο φίλοι, οὐδ' ἐν ἴσαις τιμαῖς διαγενόμενοι φαῦλοι καὶ σπουδαῖοι. τεθείη δ' ἂν καὶ ἐπὶ τοῦ μεγάλου. Σοφοκλῆς Αἰχμαλώτισιν· εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω. καὶ ἐπὶ τοῦ ῥᾳδίου. Πολιτείας τετάρτῳ· καὶ φαῦλόν γε, ἔφη, ἴσως αὐτοῖς προστάξομεν. καὶ τούτου δ' ἐγὼ ἔτι φαυλότερον. τάττεται καὶ ἐπὶ τοῦ μικροῦ καὶ εὐκαταφρονήτου. ὡς Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος· ὅτι μὲν τοίνυν οὐ μετρίας τιμὰς καὶ φαύλας λαβὼν πληγάς. ὅτι Φαῦλον εἴρηται σχεδὸν ὑπὸ πάντων τῶν ῥητόρων τὸ κακόν, ἐπί τε πράγματος καὶ ἀνδρὸς οὕτω ταττόμενον. ὡς Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους· καὶ βλάπτειν ὑμᾶς καὶ δόξης ἀναπιμπλάναι φαύλης ἐπιχειροῦντα αὐτὸν οὐ τιμωρήσεσθε; καὶ Ἰσοκράτης· ὁ γὰρ φαύλως διανοηθεὶς περὶ τῶν ἰδίων οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. καὶ Λυσίας ἐν ἐπιστολῇ· λέγων, ὡς οὐ φιλῶ σε, φαυλότητά μου μεγίστην καταγινώσκεις. εἰ γὰρ ἦθος τοιοῦτον καὶ τρόπον καὶ ψυχὴν καὶ εὔνοιαν οὕτως ἀπροφασίστως, ἔτι δὲ συνουσίας οἰκειότητα καὶ λόγων κοινωνίαν μὴ καθ' ὑπερβολὴν ἀσπάζομαι, τίς γένοιτ' ἂν ἐμοῦ ἀθλιώτερος, ὃς ἀναισθήτως ἔχω πρὸς τὸ φρονεῖν; τάσσεται δὲ καὶ ἐπὶ τοῦ μικροῦ καὶ εὐκαταφρονήτου. οὐ φαύλας λαβὼν πληγάς. Δημοσθένης φησί.

φ 142 Φαῦλος: εὐτελής, χαλεπός. ἦν δὲ Κλαύδιος βασιλεὺς Ῥωμαίων οὐ φαῦλος τὴν ψυχήν· ἐν παιδείᾳ δὲ ἤσκητο ὡς καὶ γράψαι τινά. ὅτι Πλάτων κέχρηται ἐπὶ διαφερόντων σημαινομένων τοῖς αὐτοῖς ὀνόμασιν, οἷον ὁ φαῦλος. καὶ αὖθις· ὁ δὲ ὀργὴν χαλεπὸς ὤν, καὶ ἄγαν ἐπὶ τοῖς φαυλοτάτοις κολάζει. τουτέστι τοῖς εὐτελέσι.

φ 143 Φαῦλος· Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. Ὀνόμαρχός τις ἦν Φωκέων τύραννος· τούτῳ δὲ ζῶντι συνῆρχεν ὁ ἀδελφὸς Φαῦλος.

φ 144 Φάϋλλος: ὄνομα δρομέως ἀρίστου ὀλυμπιονίκου. Ἀριστοφάνης· ὅτε τὸν δρομέα Φάϋλλον ὢν βούπαις ἔτι εἷλον διώκων λοιδορίας ψήφοιν δυοῖν. ἦν δὲ καὶ ὁπλιτοδρόμος περιώνυμος, ὃν ἐκάλουν Ὀδόμετρον. ἦν δὲ καὶ πένταθλος, ἐφ' οὗ καὶ ἐπίγραμμα· πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος· δίσκευσε δ' ἑκατὸν πέντ' ἀπολειπομένων. ἐγένετο δὲ καὶ ἕτερος, ἀθλητής· καὶ τρίτος, ὁ λωποδύτης. Ἀριστοφάνης Ἀχαρνεῦσιν· οἴμοι τάλας, τῶν ἐτῶν τῶν ἐμῶν· οὐκ ἂν ἐμῆς γε νεότητος, ὅτ' ἐγὼ φέρων ἀνθράκων φορτίον, ἠκολούθουν Φαΰλλῳ τρέχων, ὧδε φαύλως ἂν ὁ σπονδοφόρος οὗτος ὑπ' ἐμοῦ τότε διωκόμενος ἐξέφυγεν, οὐδ' ἂν ἐλαφρῶς ὧδ' ἀπεπλίξατο. ζήτει καὶ ἐν τῷ ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν.

φ 145

Φαύλως: εὐκόλως, εὐμαρῶς. Ἀριστοφάνης· εἴθε φαύλως, ὥσπερ εὗρες, ἐκβάλοις τὴν ἔνθεσιν. ἔνθεσις ὁ ψωμός. καὶ Φαύλως, τὸ εὐχερῶς καὶ ἄνευ καμάτου. Ἀριστοφάνης· οὐκ ἂν φαύλως ἔτυχε τούτου. ὦ δαιμόνιε, τὰ θεῖα μὴ φαύλως φέρε. τουτέστι μὴ ἀηδίζου ἐπὶ τοῖς χρησμοῖς. εἰπόντος γὰρ ὅτι χρησμολόγος εἰμί, ἔφη· οἴμωζε νῦν.

φ 146 Φαύλως ἐρείδει: ἁπλῶς καὶ ἀπεριέργως μασᾶται. ἢ συντόμως ἐσθίει. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεττόντων καὶ ἐπερειδομένων ταῖς κώπαις. ἐρείδειν δέ φασιν οἱ Ἀττικοὶ πᾶν ὁτιοῦν συντόνως γινόμενον.

φ 147 Φαύλως πάνυ: ἀντὶ τοῦ εὐχερῶς. Ἀριστοφάνης· καὶ πρῶτα μὲν λόγισαι φαύλως, μὴ ψήφοις ἀλλ’ ὑπὸ χειρός.

φ 148 Φαῦνος, υἱὸς Πήκου τοῦ καὶ Διός· ὃν Ἑρμῆν ἐκάλεσαν εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος. ὃς ἦν ἀστρονόμος καὶ μέταλλα δὲ ἐφεῦρε χρυσοῦ καὶ ἀργύρου καὶ σιδήρου καὶ τὴν τούτων ἐργασίαν παρέδωκε τοῖς δυτικοῖς, ὡς καὶ πλουτοδότην αὐτὸν ὑπὸ τῶν ἐγχωρίων καλεῖσθαι. ἐπιβουλευόμενος δὲ ὑπὸ τῶν ἰδίων ἀδελφῶν φεύγει εἰς Αἴγυπτον, εἰς τὴν φυλὴν τοῦ Χάμ, τοῦ υἱοῦ τοῦ Νῶε· καὶ ὑποδεχθεὶς συνδιέτριβεν αὐτοῖς, χρυσῆν ἐνδεδυμένος στολὴν καὶ προφητεύων καὶ ὡς θεὸς τιμώμενος, μεταδιδοὺς αὐτοῖς πλούτου.

φ 149 Φαῦσις: φῶς, φέγγος.

φ 150 Φαιακία: χώρα τῶν Φαιάκων, ἡ νῦν λεγομένη Κέρκυρα.

φ 151 Φαιάν· ὁ δὲ σχηματισάμενος ἐς τὴν φαιὰν ἐκείνην καὶ μέλαιναν στολήν, τῶν μέχρι καὶ τῶν συνειδότων ἐς πεντήκοντα συντεινόντων, πάντες συνετόλμων τὴν αὐτὴν ἐκείνῳ στολήν.

φ 152 Φαίαξ, ῥήτωρ. Ἀριστοφάνης φησί· σοφὸς ὁ Φαίαξ, δεξιῶς τ’ οὐκ ἀπέθανε. δεινὸς ῥήτωρ οὕτως, ὡς καὶ ἀποφυγεῖν ἐκ θανάτου ἐπ’ αὐτοφώρῳ κρινόμενος· ἐκωμῳδεῖτο δὲ ὡς παρακρούων τὰ μειράκια. συνεριστικὸς γάρ ἐστι καὶ περαντικὸς καὶ γνωμοτυπικὸς καὶ σαφὴς καὶ κρουστικὸς καταληπτικός τ’ ἄριστα τοῦ θορυβητικοῦ. οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ.

φ 153 Φαιδιμόεντες: λαμπροί. καὶ Φαίδιμος, λαμπρός, ἰσχυρός. καὶ Φαιδίμων, ὁ λαμπρός.

φ 154 Φαίδων, Ἠλεῖος, φιλόσοφος, Σωκράτους ἀκουστής· ὃς ἦρξε τῆς Ἠλιακῆς ἀπ’ αὐτοῦ κληθείσης αἱρέσεως, ἥτις ὕστερον ἀπὸ Μενεδήμου τοῦ Ἐρετριέως Ἐρετριακὴ προσηγορεύθη. τοῦτον συνέβη πρῶτον αἰχμάλωτον ὑπὸ Ἰνδῶν ληφθῆναι, εἶτα πραθεὶς πορνοβοσκῷ τινι προέστη ὑπ’ αὐτοῦ πρὸς ἑταίρισιν ἐν Ἀθήναις. ἐντυχὼν δὲ Σωκράτει ἐξηγουμένῳ ἠράσθη τῶν λόγων αὐτοῦ καὶ αἰτεῖ λύσασθαι. ὁ δὲ πείθει Ἀλκιβιάδην πρίασθαι αὐτόν· καὶ ἦν τὸ ἐντεῦθεν φιλόσοφος. διάλογοι δὲ αὐτοῦ Ζώπυρος, Μήδιος, Σίμων, Ἀντίμαχος ἢ Πρεσβύτης, Νικίας, Σιμμίας, Ἀλκιβιάδης, Κριτόλαος.

φ 155 Φαῖδρα: ὄνομα κύριον. Φαιδρὰ δὲ ἀντὶ τοῦ φαιδρῶς.

φ 156 Φαιδριάς· φασὶ τὸν Αἴσωπον ἐν Δελφοῖς ἀδίκως ἀπολέσθαι ὑπ’ αὐτῶν, κατακρημνισθέντα ἀπὸ τῶν Φαιδριάδων καλουμένων πετρῶν.

φ 157 Φαιδρός: καθαρός.

φ 158 Φαιδρωπόν: τὸ τερπνὸν καὶ χάριεν πρόσωπον.

φ 159 Φαίδρωνος.

φ 160 Φαιδρύνω· αἰτιατικῇ.

φ 161 Φαῖεν: εἴποιεν.

φ 162 Φαίημεν: εἴποιμεν. καὶ Φαίης κεν.

φ 163 Φαικά· ἐν Ἐπιγράμμασι· φαικὰ δ’ αὖτ’ εὐτάρσοισιν ἐπ’ ἀστραγάλοισι γελῶσαν.

φ 164 Φαικοῖσι: φαιδροῖς, λαμπροῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φ 165 Φαιλώνης: εἰλητὸν τομάριον μεμβραΐνον, ἢ γλωσσόκομον, ἢ χιτώνιον.

φ 166 Φαιλώνης, φαιλώνους.

φ 167 Φαίνειν: δεικνύειν, φανεροποιεῖν.

φ 168 Φαίνειν ἐπὶ λύχνου καὶ ἐπὶ τοῦ συκοφαντεῖν.

φ 169 Φαινίδος.

φ 170 Φαινόλης: χιτωνίσκος· οἱ δὲ παλαιοὶ ἐφεστρίδα. καὶ κλίνεται εἰς ου.

φ 171 Φαίνομαί σοι καλός.

φ 172 Φαινόμενα· Πλάτων Πολιτείας δεκάτῳ ἔφη· φαινόμενα, οὐ μέντοι ὄντα γέ που τῇ ἀληθείᾳ. ἀντὶ τοῦ φαντασίαν ἀποτελοῦντα, οὐ μέντοι γε ὄντα. καὶ Ἀριστοφάνης· εἶναι μὲν ὅσπερ εἰμί, φαίνεσθαι δὲ μή. τουτέστι μὴ ἀλλάξαι τὴν φύσιν, ἀλλὰ τὴν μορφήν.

φ 173 Φαίνοπις.

φ 174 Φαινόπους: λαμπρόπους.

φ 175 Φαίνων· αἰτιατικῇ. δεικνύων. Φαίνω σημαίνει καὶ τὸ κατηγορῶ, ἐξ οὗ καὶ συκοφάντης.

φ 176 Φαίνωνος.

φ 177 Φαίνωψ.

φ 178 Φαιόν: χρῶμα σύνθετον ἐκ μέλανος καὶ λευκοῦ. ἤγουν μύϊον.

φ 179 Φαιόν· ὅτι τῶν χρωμάτων τὰ μὲν ἁπλᾶ ἐστι τὰ ἐναντία, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν, τὰ δὲ σύνθετα, οἷον τὰ μεταξὺ τούτων. καὶ γὰρ ταῦτα τῇ ποιᾷ μίξει πρὸς ἄλληλα τῶν ἐναντίων ἀποτελοῦνται. καί ἐστιν αὐτῶν τὰ μὲν ἐγγυτέρω τοῦ λευκοῦ, ὡς τὸ ξανθόν, τὰ δὲ ἐγγυτέρω τοῦ μέλανος, ὡς τὸ κυανοῦν, τὰ δὲ λοιπὰ μεταξὺ τούτων, οἷον τὸ φαιόν, τὸ ἐρυθρόν. οὕτω καὶ ἐπὶ τῶν χυμῶν· ἁπλᾶ μὲν τὰ ἐναντία, τὸ γλυκὺ καὶ τὸ πικρόν, τὰ δὲ ἄλλα μικτὰ καὶ μεταξύ· ἀλλὰ τοῦ μὲν γλυκέος ἐγγυτέρω τὸ λιπαρόν, τὸ δὲ ἁλμυρὸν τοῦ πικροῦ, τὰ δὲ λοιπὰ τούτων μεταξύ. οὐ πάντως δὲ τὰ μεταξὺ καὶ μικτά· τὰ μὲν γὰρ μικτὰ καὶ μεταξύ, οὐκέτι δὲ ἀνάπαλιν· οἷον ἐπὶ χρωμάτων· τὸ μὲν γὰρ φαιὸν μικτὸν ὂν μεταξύ ἐστι· τὸ μέντοι ἐρυθρὸν ἢ πράσινον οὐ πάντως ἐκ τῆς μίξεως τῶν ἐναντίων γίνεται, ἀλλὰ μεταξὺ λέγονται ὡς μηδετέρου τῶν ἄκρων μετέχοντα. οὕτω καὶ ἐπὶ χυμῶν· μικτὸν μὲν τὸ ἁλμυρόν, ὡς οἱ ἅλες· ἐκ γὰρ πικροῦ τοῦ θαλαττίου ὕδατος καὶ γλυκέος τὴν γεῦσιν ἔχουσι· τὸ δὲ δριμὺ καὶ αὐστηρὸν καὶ ὀξὺ τῷ μηδετέρου τῶν ἄκρων μετέχειν οὕτως εἰσὶ μεταξύ. εἴ τι δὲ ἄλλο ἐγγύς ἐστι τούτων, τοῦτο ἄχυμον εἶναι, οἷον τὸ πλαδαρὸν ἤ τι τοιοῦτον. ὁ μὲν οὖν Ἀριστοτέλης ὀκτὼ καταλέγων εἴδη χυμῶν, δύο καταλείπει ἄκρους, τὸν γλυκὺν καὶ πικρόν, καὶ ἓξ μέσους· ἐγγὺς μὲν τοῦ γλυκέος τὸν λιπαρόν, τοῦ δὲ πικροῦ τὸν ἁλμυρόν, ἐν μέσῳ δὲ στρυφνόν, αὐστηρόν, δριμύν, ὀξύν. ὁ δὲ Γαληνὸς ἐν τοῖς ἁπλοῖς ἄκρους μὲν λέγει οὐ τὸν γλυκὺν καὶ πικρόν, ἀλλὰ τὸν δριμὺν καὶ ὀξύν. καὶ οὐ διαφωνοῦσιν· ὁ μὲν γὰρ ὡς ἰατρὸς πρὸς τὰς ἁπτὰς ἀπιδὼν ποιότητας τούτους ἐκάλεσεν ἄκρους· ἄκρον γάρ ἐστι κατὰ μὲν θερμότητα τὸ δριμύ, κατὰ δὲ ψύξιν τὸ ὀξύ. ὁ δὲ οἷα φιλόσοφος οὐκέτι πρὸς τὰς ἁπτάς, ἀλλὰ πρὸς τὰς γευστὰς ἀφεωρακώς, οὕτως ἐποιήσατο τὴν ἀντίθεσιν· ἄκρον γάρ ἐστιν ἐν τοῖς γευστοῖς τὸ γλυκὺ καὶ πικρόν. ὁ δὲ Πλάτων κέχρηται τοιᾷδε τάξει· ἑπτὰ λέγει χυμούς· τὸ γὰρ λιπαρὸν ἅμα τῷ γλυκεῖ συνάπτει, λέγων ὅτι τὸ ὑπαλεῖφον, εἰ μὲν μετὰ ἡδύτητός ἐστι, ποιεῖ τὸ γλυκύ· εἰ δὲ ἄνευ ἡδύτητος, λιπαρόν. γλυκὺ δὲ λέγομεν οἷον τὸ μέλι, λιπαρὸν δὲ τὰ ἐλαιώδη, ὀξὺ τὸ ὄξος, στρυφνὸν οἷον ἀχράδες, αὐστηρὸν τὸν οἶνον, ἁλμυρὸν τοὺς ἅλας, πικρὸν τὸ ἀψίνθιον, δριμὺ τὸ πέπερι. ἄκρα δὲ λέγει ὀξὺ καὶ δριμύ, πάρακρα δὲ ἐγγὺς μὲν τοῦ ὀξέος τὸ στρυφνόν, ἐγγὺς δὲ τοῦ δριμέος τὸ πικρόν· παράμεσα δὲ ἐγγὺς μὲν τοῦ πικροῦ τὸ ἁλμυρόν, ἐγγὺς δὲ τοῦ στρυφνοῦ τὸ αὐστηρόν, μέσον δὲ τὸ γλυκύ. ἀνατίθησι δὲ ταῦτα τοῖς ἑπτὰ πλανήταις, τὸ μὲν ὀξὺ τῷ Ἑρμῇ, τὸ δριμὺ τῷ Ἄρεϊ, τὸ πικρὸν τῇ Σελήνῃ, τὸ γλυκὺ τῷ

Ἡλίῳ, τὸ ἁλμυρὸν τῇ Ἀφροδίτῃ, τὸ αὐστηρὸν τῷ Διΐ, τὸ στρυφνὸν τῷ Κρόνῳ. τὴν δὲ αἰτίαν ὡς φλυαρίαν παρίδωμεν.

φ 180 Φαιός· Μένιππος ὁ Κυνικὸς ἐπὶ τοσοῦτον τερατείας ἤλασεν ὡς Ἐριννύος ἀναλαβεῖν σχῆμα, λέγων ἐπίσκοπος ἀφῖχθαι τῶν ἁμαρτανομένων ἐξ ᾅδου καὶ πάλιν κατιὼν ἀπαγγέλλειν ταῦτα τοῖς ἐκεῖ δαίμοσιν. ἦν δὲ ἡ ἐσθὴς αὕτη φαιὸς χιτὼν ποδήρης, περὶ αὐτῷ ζώνη φοινικῆ, καὶ πῖλος Ἀρδικὸς ἐπὶ τῆς κεφαλῆς, ἔχων ἐνυφασμένα τὰ ιβʹ στοιχεῖα, ἐμβάται τραγικοί, πώγων ὑπερμεγέθης, ῥάβδος ἐν τῇ χειρὶ μελίνη.

φ 181 Φαιστιῶνος: πόλις.

φ 182 Φαιστός: πόλις Κρήτης. Ὅμηρος· ἐς Φαιστόν, μικρὸς δὲ λίθος μέγα κῦμ’ ἀποέργει. Μάλεος γάρ τις τελέσας τὸν λίθον τοῦτον ἀνιέρωσε τῷ Ποσειδῶνι, πρὸς τῷ μὴ τὰ κύματα προσπελάζειν τῇ Φαιστῷ.

φ 183 Φέβεται: φεύγει.

φ 184 Φεβρουάριος: οὕτω καλεῖται ὁ μὴν ἀπό τινος ὑπάτου γένους ὑπάρχοντος τῶν Γάλλων· ἡνίκα γὰρ τὸν θρίαμβον τὸν ἀπὸ τῶν Τυράννων κατήγαγεν ὁ Κάμιλλος, ζηλοτυπήσας ὁ Φεβρουάριος ἐπὶ τοῦ βήματος ἐβόα μὴ γεγονέναι τὸν Κάμιλλον αἴτιον τῆς νίκης, ἀλλὰ τὴν τύχην Ῥωμαίων. συνέπλαττε δὲ καὶ γράμματα καὶ ψευδομαρτυρίας κατ’ αὐτοῦ, ὡς τυραννίδα μελετῶντος. ἐντεῦθεν δὲ τὸν δῆμον ἐπαναστήσας ἀπελαύνει τοῦτον τῆς πόλεως. ὡς οὖν μετὰ τὴν ἅλωσιν τῆς Ῥώμης ἐπανῆλθε καὶ τοὺς περὶ τὸν Βρήννον βαρβάρους ἀνεῖλεν, εἰς κρίσιν ἀγαγὼν τὴν ὑπόθεσιν ἀπέδειξε πάντων γεγονέναι τῶν πεπραγμένων αἴτιον τὸν Φεβρουάριον. καὶ διὰ τοῦτο γυμνωθέντα αὐτὸν τῆς ἐσθῆτος καὶ θρυΐνῃ περιβληθέντα ψιάθῳ ὑπὸ τῶν ὑπηρετούντων τῷ δημάρχῳ τῶν καλουμένων βερνάκλων τυπτόμενον νεύροις τῆς πόλεως ἀπεδίωξε καὶ τὸν ἐπώνυμον αὐτοῦ μῆνα παρὰ τοὺς ἄλλους ἐκολόβωσε.

φ 185 Φεγώρ: Βεέλ, ὁ Κρόνος, Φεγὼρ δὲ ὁ τόπος, ἐν ᾧ ἐτιμᾶτο· ἐξ ὧν Βεελφεγώρ.

φ 186 Φεδεϊκόμισσα: παρὰ Ῥωμαίοις τὰ ἐν πίστει καταλιμπανόμενα ὑπὸ τοῦ μέλλοντος τελευτᾶν.

φ 187 Φελλαγωγία: πανήγυρις ἐπιτελουμένη παρὰ Ῥωμαίοις, ἐν ᾗ διέβαλλον ἑαυτούς.

φ 188 Φελλάς: τὸ τῶν βιβλίων ἔξωθεν σκέπασμα.

φ 189 Φελλέα: τὰ πετρώδη καὶ αἰγίβοτα χωρία, ὡς Ἰσαῖος. καὶ Φελλεύς, σκληρὸς ποσῶς καὶ πετρώδης τόπος. Ἀριστοφάνης· ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ Φελλέως, ὥσπερ ὁ πατήρ σου διφθέραν ἐνημμένος. Φελλεὺς τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος τραχύς. αἱ δὲ αἶγες πρὸς τὰ τραχύτερα καὶ ὀρεινότερα διάγουσιν. ἀπὸ τούτου δὲ φελλέτας λέγουσι Δωριεῖς τοὺς κισσηρώδεις λίθους. καὶ ἑορτή τις περὶ τὸν Διόνυσον, Φελλὸς καλούμενος. καὶ αὖθις· τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ φελλέως κλέπτουσαν.

φ 190 Φελλεῖς: οὕτω λέγουσιν οἱ Ἀττικοὶ τοὺς πετρώδεις τόπους· οἵτινές εἰσι πετρώδεις μὲν κάτωθεν, ἐπιπολῆς δὲ ὀλίγην ἔχουσι γῆν. ἔστι δὲ καὶ ὄρος οὕτω καλούμενον.

φ 191 Φέλλιος: ὄνομα κύριον.

φ 192 Φέλλος. ἀβάπτιστόν τε καθ’ ὕδωρ φελλόν, ἀεὶ κρυφίων σῆμα λαχόντα βόλων.

φ 193 Φελουρέα: εἶδος δένδρου.

φ 194 Φενάκη: ἀπάτη, δόλος. ἐς τὸ τρανὲς τὴν ἔρευναν ἐποιήσαντο, καὶ φενάκη τις ἐν τῇ ἐπισκοπῇ οὐκ ἐνῆν.

φ 195 Φενάκη: τὸ προκόμιον. οἷον τοῦ φαινομένου κρανίου ἄκος καὶ σκέπη. κυρίως δὲ ἡ προσθετὴ καὶ ἐπιτηδευτὴ κόμη· ἀπὸ τῶν κατερρυηκυιῶν γυναικῶν καὶ οὕτως ἀπατουσῶν διὰ τῆς ἐπεισάκτου κόμης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φ 196 Φενακίζει: χλευάζει. ἡ γὰρ τῆς φενάκης ἀπάτη λίαν ἐγκρατῶς ἀπεβουκόλει τὸν βάρβαρον.

φ 197 Φέναξ: χλευαστής, ἀπατέων.

φ 198 Φεναρέτης: ὄνομα κύριον.

φ 199 Φενεός: ὄνομα πόλεως.

φ 200 Φενόλης: Ῥωμαϊκὴ στολή.

φ 201 Φένω: τὸ φονεύω.

φ 202 Φεράς: πόλις.

φ 203 Φέρασπις: ὁ πολεμικός. πικρὴν ἀλλήλοις Ἕκτωρ χάριν, ἠδὲ φέρασπις Αἴας, ἐκ πολέμου μνῆμ' ἔφερον φιλίης.

φ 204 Φεραυγής: κατάλαμπρος.

φ 205 Φέρβει: βόσκει, τρέφει.

φ 206 Φέρε: οἷον ὑπόθου. ἄγε οὖν. ἀρχαία ἡ σύνταξις. Ἀριστοφάνης· φέρε, ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν;

φ 207 Φερέγγυος: ἀσφαλής, ἀξιόπιστος ἐγγυητής. Ἡρόδοτος· αὐτὸς μὲν ὑμῖν οὐ φερέγγυος εἰμὶ δύναμιν παρασχεῖν τοσαύτην ὥστε κατάγειν.

φ 208 Φερέγγυος: ὁ ἐκδεξάμενός τι καὶ δυνάμενος ἀποτῖσαι, οἷον ἀξιόχρεως, δυνάμενος ἀναδέξασθαι τὴν ἐγχείρησιν. τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος; τουτέστιν ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλής εἰμι. καὶ βεβαιωτής.

φ 209 Φερεζαῖος: ἐθνικόν.

φ 210 Φέρεθρα· πομπεῖά τε αὐτοῦ προηγεῖτο, ἀργύρου καὶ χρυσοῦ πεποιημένα, καὶ ὁπλῖται πάμπολλοι καὶ κόσμος βασιλικὸς καὶ φέρεθρα, ἔχοντα εἰκόνας βασιλέων, καὶ δείκηλα ἄττα. αὐτός τε Οὐάφρης ἐπὶ πᾶσιν ἐκομίζετο φοράδην, ἐν ναῷ χρυσοῦ πεποιημένῳ· καὶ τῶν ἱερέων οἱ σεμνότατοι καὶ τελεώτατοι φορεῖς ἦσαν.

φ 211 Φερεκάκους: καρτερικούς. συναγαγὼν ἱππεῖς, ὄντας φερεκάκους διαφερόντως, παρεκάλεσε.

φ 212 Φερεκράτης, Ἀθηναῖος, κωμικός· ὃς Ἀλεξάνδρῳ συνεστράτευσεν. ἐδίδαξε δράματα ιζʹ. Φερεκράτης Πετάλῃ γράφει.

φ 213 Φέρεκλος: ὄνομα κύριον.

φ 214 Φερεκύδης, Βάβυος, Σύριος· ἔστι δὲ νῆσος μία τῶν Κυκλάδων ἡ Σύρα, πλησίον Δήλου. γέγονε δὲ κατὰ τὸν Λυδῶν βασιλέα Ἀλυάττην, ὡς συγχρονεῖν τοῖς ζʹ σοφοῖς· καὶ τετέχθαι περὶ τὴν μεʹ Ὀλυμπιάδα. διδαχθῆναι δὲ ὑπ' αὐτοῦ Πυθαγόραν λόγος· αὐτὸν δὲ οὐκ ἐσχηκέναι καθηγητήν, ἀλλ' ἑαυτὸν ἀσκῆσαι, κτησάμενον τὰ Φοινίκων ἀπόκρυφα βιβλία. πρῶτον δὲ συγγραφὴν ἐξενεγκεῖν πεζῷ λόγῳ τινὲς ἱστοροῦσιν, ἑτέρων τοῦτο εἰς Κάδμον τὸν Μιλήσιον φερόντων, καὶ πρῶτον τὸν περὶ τῆς μετεμψυχώσεως λόγον εἰσηγήσασθαι. ἐζηλοτύπει δὲ τὴν Θάλητος δόξαν. καὶ τελευτᾷ ὑπὸ πλήθους φθειρῶν. ἔστι δὲ ἅπαντα ἃ συνέγραψε, ταῦτα· Ἑπτάμυχος ἤτοι Θεοκρασία ἢ Θεογονία. ἔστι δὲ θεολογία ἐν βιβλίοις δέκα, ἔχουσα θεῶν γένεσιν καὶ διαδόχους.

φ 215 Φερεκύδης, ὁ σοφός. ζήτει ἐν τῷ χροΐ δῆλα.

φ 216 Φερεκύδης, Ἀθηναῖος, πρεσβύτερος τοῦ Συρίου, ὃν λόγος τὰ Ὀρφέως συναγαγεῖν. ἔγραψεν Αὐτόχθονας· ἔστι δὲ περὶ τῆς Ἀττικῆς ἀρχαιολογίας ἐν βιβλίοις ιʹ· Παραινέσεις δι' ἐπῶν. Πορφύριος δὲ τοῦ προτέρου οὐδένα πρεσβύτερον δέχεται, ἀλλ' ἐκεῖνον μόνον ἡγεῖται ἀρχηγὸν συγγραφῆς.

φ 217

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φερεκύδης, Λέριος, ἱστορικός, γεγονὼς πρὸ ὀλίγου τῆς οε′ ὀλυμπιάδος. Περὶ Λέρου, Περὶ Ἰφιγενείας, Περὶ τῶν Διονύσου ἑορτῶν· καὶ ἄλλα.

φ 218 Φέρε νῦν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν: τὸ πτερὸν ζητεῖ, ἵνα ἐξεμέσῃ· εἰώθασι γὰρ οἱ δυσεμοῦντες πτερῷ χρῆσθαι πρὸς τὸ εὐχερῶς ἐμέσαι.

φ 219 Φερεσβίους: ζῳοποιούς.

φ 220 Φερετίμα: ὄνομα κύριον. ἡ δὲ Φερετίμα τὸν ὄροφον ὑποσπάσασα τοῦ βόθρου, ὡς ἂν ἐμπεδορκοίη, ἤλαυνεν εἰς τὴν πόλιν.

φ 221 Φερέοικος: ὁ κοχλίας. ἔνιοι ζῷον λευκὸν ὅμοιον γαλῇ, ὑπὸ δρυσὶ καὶ ἐλαίαις γινόμενον· οἱ δὲ ζῷον σφηκὸς εὐμεγέθους μέγιστον.

φ 222 Φέρειν: λαμβάνειν. Ἀριστοφάνης Ἀχαρνεῦσιν· ἐπέμψεθ' ἡμᾶς ὡς βασιλέα τὸν μέγαν, μισθὸν φέροντας οὐ δραχμὰς τῆς ἡμέρας. Μένανδρος Ὀλυνθίᾳ· μετ' Ἀριστοτέλους γὰρ τέτταρας τῆς ἡμέρας ὀβολοὺς φέρων. καὶ ὁ μισθοφόρος ἀπὸ τούτου. καὶ Ἔφερον, οὐδετέρως. τὸ φέρον ἐκ θεοῦ καλῶς φέρειν χρή. τουτέστι τὸ ἐκ θεοῦ πεμφθὲν γενναίως φέρειν χρή. καὶ αὖθις· ἔφερον ἀλλήλους οὐχ ἧττον. ἀντὶ τοῦ λίαν ἐλῄστευον, ἔβλαπτον.

φ 223 Φέριστον: κράτιστον, ἐξοχώτατον, ἢ ἀγαθόν.

φ 224 Φερνή: προίξ. Φέρνη, ἀμοιβή.

φ 225 Φερνή: ἡ προῖξ· παρά τισι δὲ φέρνη.

φ 226 Φερομένου: λαμβάνοντος. τὴν αἰτίαν πᾶσαν τοῦ πολέμου τούτου τοῦ ἀνδρὸς φερομένου. καὶ Φέρονται, ἀντὶ τοῦ νικῶσι. καὶ φέρονται οἱ πλούσιοι τὸ πλέον· συλλαβόντες δὲ τῶν δημοτῶν εἰς ψ′ δήσαντες ἄγουσι. καὶ Φερόμενος· ἀνὴρ γένος μὲν φερόμενος Θρᾴκιον, ᾧ ὄνομα Διογένης ἦν· τὰ δὲ πολέμια παρ' ὁντινοῦν κράτιστος, τέλους ἱππικοῦ προτεταγμένος.

φ 227 Φέρω· αἰτιατικῇ.

φ 228 Φερωνία: ὄνομα κύριον.

φ 229 Φερώνυμος: ἀληθὲς ἔχων τὸ ὄνομα,

φ 230 Φερώρας: ὄνομα κύριον.

φ 231 Φερσεφόνη: ὄνομα θεᾶς καταχθονίου.

φ 232 Φέρτερον: κρεῖττον, ἢ ταχύτερον.

φ 233 Φέρτρῳ: τῇ τῶν νεκρῶν κλίνῃ. Φέρτρον καὶ τὸ φορεῖον. Πολύβιος· τότε καὶ τὸν Φιλήμενον ἥκειν ἔχοντα τὸν ὗν ἐν φέρτρῳ καὶ Λίβυας ὡσεὶ χιλίους. ὡς δὲ ἤγγισε τῷ τείχει, ἔλεγεν ἀνοίγειν ταχέως, ὅτι βαρύνονται, φέρουσι γὰρ ὗν ἄγριον. ὁ δὲ φύλαξ ἀνοίγει, θαυμάσας τὴν εὐαγρίαν. οἱ δὲ φέρεθρον λέγεσθαί φασι.

φ 234 Φεσκάσιον: μάγγανον πλοϊκόν.

φ 235 Φεῦ: σχετλιαστικὸν ἐπίρρημα. ἢ ὀδυνηρὸν οἰμώγημα. ἔστι δὲ καὶ θαυμαστικὸν τὸ φεῦ. Σοφοκλῆς· φεῦ, φεῦ. φρονεῖν ὡς δεινὸν ἔνθα μὴ τέλη λύῃ φρονοῦντι· ταῦτα γὰρ καλῶς ἐγὼ εἰδὼς διώλεσ'· οὐ γὰρ ἂν δεῦρ' ἱκόμην. ὡς δεινόν, φησί, τὸ φρονεῖν, ὅταν τὸ φρονούμενον τῷ φρονοῦντι μὴ συντελῇ. φεῦ, ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ. ἅμα διὰ τὸ λεγόμενον, ὅτι τοῖς νεκροῖς ἐπὶ τοῦ στόματος βάλλουσι δύο ὀβολούς· καὶ ὅτι τὸ δικαστικὸν μισθάριον δύο ὀβολοὶ ἦσαν. ἦν δὲ καὶ τριώβολον, βλακείας χάριν τοῦτο τῶν στρατηγῶν προστιθέντων. καὶ περὶ τοῦ ναύλου εἰπόντος, πῶς περαιωθήσομαι; λέγει· ἐν πλοιαρίῳ τυννουτωΐ ς' ἀνὴρ γέρων διάξει, δύ' ὀβολὼ μισθὸν λαβών.

φ 236 Φεύγοντας: τοὺς εἰς δίκην ἀγομένους. τοὺς φεύγοντας ἐλεεῖν μᾶλλον τῶν γραψαμένων, κἀπιδακρύειν ἀντιβολούντων. καὶ Φεύγω· αἰτιατικῇ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φ 237 Φεύγοιεν: κατηγοροῖντο. καὶ Φεύγων, κατηγορούμενος. Ἀριστοφάνης Νεφέλαις· ἧ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην.

φ 238 Φευκτέον· αἰτιατικῇ. ἐπίρρημα θετικόν. Πλάτων φησί· φευκτέον ἐνθένδε. τίς οὖν ἡ φυγή; θεῷ ὁμοίωσις. τοῦτο δέ, εἰ δίκαιοι καὶ ὅσιοι μετὰ φρονήσεως γενοίμεθα· καὶ ὅλως ἐν ἀρετῇ, οὐ κατὰ τὰς πολιτικὰς ἀρετάς, ἀλλὰ κατὰ τὰς μείζους, τῶν αὐτῶν ὀνομάτων χρωμένας.

φ 239 Φέψαλος καὶ Φεψάλυξ: σπινθήρ, ὁ ἀναφερόμενος ἐκ τῶν καιομένων ξύλων. Ἀριστοφάνης· ἀλλ’ οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ. οἷον ζωπύρημα, σπινθήρ. διαβάλλονται δὲ ὡς μοιχοὶ οἱ Μιλήσιοι.

φ 240 Φεψάλῳ: καπηλείῳ. φέψαλοι γὰρ οἱ σπινθῆρες. Ἀριστοφάνης· ἡ δ’ ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται. διὰ τὸ εἰρήνην εἶναι. λέγεται δὲ καὶ φεψάλυξ παρὰ Ἀρχιλόχῳ. καὶ παρὰ Ἀριστοφάνει· ἀλλ’ οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ. καὶ αὖθις· ἀλλ’ ἀποσκοτουμένους ὑπὸ τῆς εἰς αὐτοὺς φερομένης λιγνύος καὶ τῶν φεψαλύγων, ἔτι δὲ τῆς τοῦ καπνοῦ πολυπληθίας, οὐκ ὀλίγους ἀπόλλυσθαι.

φ 241 Φειά: ὄνομα πόλεως.

φ 242 Φείδαλος.

φ 243 Φειδαλφίτως: ἐκ τοῦ ἄλφιτον. ὅ ἐστι πεφεισμένως τῶν ἀλφίτων.

φ 244 Φείδας: ὄνομα κύριον.

φ 245 Φειδήσεται: φείσεται.

φ 246 Φειδίας, ἀγαλματοποιός, ὃς ἐλεφαντίνης Ἀθηνᾶς εἰκόνα ἐποίησε. Περικλῆς δὲ ἐπὶ τοῖς ἀναλώμασι ταχθεὶς ἐνοσφίσατο ν′ τάλαντα καὶ ἵνα μὴ δῷ τὰς εὐθύνας, πόλεμον ἐκίνησε. καὶ παροιμία· Φειδίας προσήκοι εἰρήνῃ, καθὸ τεχνίτης. εὔμορφος δὲ ἐκείνη εἰσάγεται. Πολύβιος· Λεύκιος Αἰμίλιος παρῆν εἰς τὸ τέμενος τὸ ἐν Ὀλυμπίᾳ καὶ τὸ ἄγαλμα θεασάμενος ἐξεπλάγη καὶ τοιοῦτον εἶπεν, ὅτι μόνος αὐτῷ δοκεῖ Φειδίας τὸν παρ’ Ὁμήρῳ Δία μεμιμῆσθαι· διότι μεγάλην ἔχων προσδοκίαν τῆς Ὀλυμπίας, μείζω τῆς προσδοκίας εὑρηκὼς εἴη τὴν ἀλήθειαν. καὶ αὖθις· καθάπερ, οἶμαι, Μυρμηκίδην ἀντιταττόμενον τῇ Φειδίου τέχνῃ.

φ 247 Φείδιππος.

φ 248 Φείδομαι· γενικῇ.

φ 249 Φειδώ: πρόνοια, φεισμονή, εὐσπλαγχνία.

φ 250 Φειδωλός: φειδόμενος, σκνιπός. Φειδωλός τις ὤν, ὁ φεύγων τὸ δοῦναι ὁ περίψηφος. ἢ παρὰ τὸ φείδομαι καὶ τὸ δοῦναι, φειδωδός τις ὤν, τροπῇ τοῦ δ εἰς λ.

φ 251 Φείδων: ὄνομα κύριον.

φ 252 Φεισμονή: φειδώ, εὐσπλαγχνία.

φ 253 Φεισόμεθα γάρ τι τῶνδε μᾶλλον ἡμεῖς ἢ λύκων; ἢ τίνας τισαίμεθ’ ἄλλους τῶνδ’ ἂν ἐχθίους ἔτι; τουτέστι μᾶλλον λύκων φεισόμεθα ἤπερ τούτων. μήποτε δὲ καὶ παροιμιῶδες ἐγένετο, ἐπεὶ τοπαλαιὸν τοὺς λύκους ἀπέκτεννον ἐν τῇ Ἀττικῇ. καὶ νόμος ἦν λυκοκτονεῖν. διὸ ὁ μὲν φονεύων τέκνον λύκου τάλαντον ἐλάμβανεν, ὁ δὲ τέλειον δύο.

φ 254 Φεισών: ὄνομα ποταμοῦ.

φ 255 Φῆ: οὐδετέρως Ὅμηρος τὸ φῆ ἀντὶ τοῦ ὡς τέταχεν. ὁ δὲ φῆ κώδειαν ἀνασχών. ἵν’ ᾖ ὡς κώδειαν.

φ 256 Φηγαιεῦσι: δῆμος τῆς Αἰαντίδος.

φ 257 Φηγεύς.

φ 258

Φήγινος: δρύϊνος. ἐν Ἐπιγράμμασι· φηγίνεον κρατῆρα.

φ 259 Φήγοντος.

φ 260 Φηγός: δρῦς· ἢ πεύκη. ἦν δὲ δένδρα ὑπερμεγέθη, φηγὸς καὶ ἐλάτη, δρύες τε καὶ φίλυρα.

φ 261 Φηγοῦς: δῆμος τῆς Ἐρεχθηΐδος.

φ 262 Φηγούσιον· Λυσίας ἐν τῷ Περὶ Βατράχων φόνου.

φ 263 Φήληκες: τὰ ἄγρια σῦκα, τὰ τῇ δείξει πέπειρα.

φ 264 Φήληξ: ὁ ἀπατεών, καὶ ἡ ὠμὴ συκῆ.

φ 265 Φῆλος: ὁ ἀπατηλός.

φ 266 Φηλοῦν: ἀπατᾶν. Μένανδρος Ἁλιεῖ· δύ’ οἰκίας φηλῶν γερόντων, ὡς λέγεις, ἀβελτέρων. καὶ Φηλωθεῖσα, ἀντὶ τοῦ ἐξαπατηθεῖσα. ἐν Μύθοις· κέρδεσι φηλωθεῖσα θοὴ κεμάς. ἔνθεν καὶ φήληκες τὰ ἄγρια σῦκα, τὰ τῇ δείξει πέπειρα.

φ 267 Φηλώματα: ἐξαπάτας. οὕτως Ἀντιφῶν.

φ 268 Φηλώσεις: ἀπατήσεις.

φ 269 Φήμη· τέκνον ἐλπίδος ἄμβροτε φήμη. παρ’ ὅσον ἐν ἐλπίδι τινὲς γινόμενοι χρησμοὺς αἰτοῦσιν ἀπὸ τοῦ θεοῦ. καὶ αὖθις· φήμη τὸν ἐσθλὸν κἀν μυχοῖς δείκνυσι γῆς. Εὐριπίδης φησί.

φ 270 Φημί: λέγω, ὑπολαμβάνω. ὅτι Ἀρκεσίλαος ὁ φιλόσοφος φυσικῶς ἐν τῷ διαλέγεσθαι ἐχρῆτο τῷ φήμ’ ἐγώ, οὐ συγκαταθήσεται τούτοις ὁ δεῖνα· εἰπὼν τοὔνομα. καὶ Δαβίδ· φησὶν ὁ παράνομος. ἀντὶ τοῦ ἡγεῖται ὑπολαμβάνει.

φ 271 Φημίζω. αἰτιατικῇ.

φ 272 Φημισμός: ἡ φήμη.

φ 273 Φήνας: συκοφαντήσας, φενακίσας.

φ 274 Φῆναι: δεῖξαι, εἰπεῖν.

φ 275 Φήνη: εἶδος ὀρνέου.

φ 276 Φῆρας: τοὺς Κενταύρους.

φ 277 Φηρή: ὄνομα πόλεως. καὶ Φηρήτης, ὁ πολίτης.

φ 278 Φής: λέγεις. καὶ Φησί, λέγει. καὶ Φήσεις, λέξεις.

φ 279 Φῆστος· οὗτος περὶ τοὺς χρόνους Οὐάλεντος εἰς τὴν Ἀσίαν ἐκπέμπεται ἀνθύπατος, τὴν δὲ βασιλικὴν γλῶσσαν ἐπεπίστευτο. πέμπεται δὲ ὅμως, τὸν ποιητικὸν καὶ μυθώδη Ἔχετον, καὶ εἰ δή τις ἄλλος ἐκ Σικελίας ἢ Θετταλίας τοιοῦτος, χρυσὸν ἀποδείξων καὶ πανήγυριν. ἦν δὲ ἡ μανία οὐ θύραθεν, ἀλλ’ ἔνδοθεν ἐλύσσα καὶ ἐμαίνετο, ἀνὴρ φύσει πονηρὸς καὶ ἐξουσίαν ἔχων καὶ τὴν ἐν ταῖς κολάσεσιν ἀγριότητα καταλιπὼν εὐδοκιμοῦσαν ἐν τοῖς βασιλείοις, οὐκ ἔστιν ὅ τι παρανομίας ἀπέλειπε καὶ ἀσελγείας. ἀλλ’ ἐπὶ τοσόνδε παραφορᾶς ἐρρύη καὶ φόνων, ὥστε καὶ Μάξιμον ξίφει διέφθειρε, Κοίρανον Αἰγύπτιον ἐπισφάξας αὐτῷ. καὶ ἔτι θερμὸς ὢν καὶ ζέων τῷ λύθρῳ πάντας συνανῄρει καὶ κατέφλεγε.

φ 280 Φητιαλεῖς.

φ 281 Φήτρη: συγγένεια. καὶ Φρήτρη.

φ 282 Φιαλεῖς· Ἀριστοφάνης· ἀλλ’ οὐκ ἀποδώσεις οὐδὲ φιαλεῖς, οἶδ’ ὅτι· ἀλλ’ ἐξαπατήσεις κἀγχανῇ τούτῳ μέγα. φιαλοῦμεν δέ, τουτέστιν τῷ ἔργῳ ἐπιβαλοῦμεν. ἐπὶ τοῦτο ὁρμήσομεν. φιαλεῖν δὲ κυρίως ἐστὶ τὸ ἄρχεσθαι πράγματος. Ἀριστοφάνης· ἄγε δὴ σὺ ταχέως ὕπεχε τὴν φιάλην, ὅπως ἔργῳ φιαλοῦμεν, εὐξάμενοι τοῖσι θεοῖς.

φ 283 Φιάλην ἀμφίθετον· ζήτει ἐν τῷ ἀμφίθετον φιάλην.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φ 284 Φιάλη.

φ 285 Φιάλος.

φ 286 Φιαρόν: λαμπρόν.

φ 287 Φίβαλις: γένος συκῆς ἡ φίβαλις, ἐπιτήδειον εἰς ξηρασίαν ἰσχάδων. ἐπεὶ δὲ ἀπὸ τοῦ ἰσχναίνεσθαι ἰσχὰς καλεῖται, καὶ τοὺς ἰσχνοὺς τῶν ἀνθρώπων ἐκάλουν φιβαλεῖς. ὁ δὲ τόνος φιβάλεως, προπαροξυτόνως, ὡς κορώνεως, πελέκεως. Ἀριστοφάνης Ἀχαρνεῦσι· τί δέ; φιβάλεως ἰσχάδας; κοΐ, κοΐ. ὡς ὀξὺ πρὸς τὰς ἰσχάδας κεκράγατε.

φ 288 Φιβλατώριον: περιβόλαιον Περσικόν.

φ 289 Φιγαλεύς: ὁ ἀπὸ τοῦ δήμου Ἀρκαδίας. καὶ ὁ δῆμος Φιγάλεια.

φ 290 Φίγιον: ἀκρωτήριον.

φ 291 Φιδηναῖος: ἀπὸ τόπου.

φ 292 Φικιδίζειν: ἐπὶ τοῦ παιδεραστεῖν.

φ 293 Φικιῶ.

φ 294 Φίλα: ἴσα, ὅμοια, προσφιλῆ.

φ 295 Φιλάγριος, Λύκιος ἀπὸ Μάκρης, ὡς εὕρηται παρὰ Εὐγενάτορι. ὡς δὲ αὐτὸς ἐν τῇ πρὸς Φιλήμονα περὶ ἥπατος ἐσκιρρωμένου ἐπιστολῇ φησιν, ὁ Φιλάγριος εἴη ἂν μᾶλλον Ἠπειρώτης, ἰατρός, μαθητὴς Ναυμαχίου, τοῖς χρόνοις μετὰ Γαληνόν· ἰατρεύσας τὰ πλεῖστα ἐν Θεσσαλονίκῃ, συντάξας βιβλία ἰατρικά, μονόβιβλα μὲν ο′, συντάγματα δὲ ἕτερα οὐκ ὀλίγα, ὑπομνηματικὰ εἰς Ἱπποκράτην.

φ 296 Φιλαδελφέως υἱὸς Ἀνδροκλείδης.

φ 297 Φίλαθλος: φιλόπονος.

φ 298 Φιλακροάμονος.

φ 299 Φιλάμμων, πύκτης, Ἀθηναῖος· ὃς πάντα τὸν χρόνον ἐνίκα τοὺς ἀντιπάλους.

φ 300 Φιλάμμων ἕτερος, ὃν ᾄδουσι Θαμύρου τοῦ Θρᾳκὸς πατέρα γενέσθαι.

φ 301 Φιλαμπελωτάτη: ἡ εἰρήνη· εἰρήνης γὰρ οὔσης γεωργοῦμεν, πολέμου δὲ ὄντος τοὐναντίον. καὶ Φιλία, ἡ οἰκεία χώρα· ὡς πολεμία, ἡ ἀλλοτρία.

φ 302 Φιλανθρωπηθείς· ὁ δὲ Ἀσδρούβας ἐβουλήθη τούτῳ συμμίξας καὶ φιλανθρωπηθεὶς ἀπελθεῖν εἰς τοὺς ἔξω τόπους. καὶ Φιλανθρωπία, ἡ ...

φ 303 Φιλαπεχθήμων: φιλομίσητος, φίλεχθρος, φιλομίσης.

φ 304 Φιλαργυρία: ὑπόληψις τοῦ τὸ ἀργύριον καλὸν εἶναι.

φ 305 Φιλαυτίας: ὑπερηφανίας.

φ 306 Φιλαίας: ὄνομα τόπου.

φ 307 Φιλαινίς, Φιλαινίδος: ὄνομα κύριον.

φ 308 Φιλέταιρος: ὄνομα κύριον. Ἀθηναῖος, κωμικός, υἱὸς Ἀριστοφάνους τοῦ κωμικοῦ. δράματα αὐτοῦ κα′· ὧν ἐστι καὶ ταῦτα· Ἀχιλλεύς, Κορινθιαστής, Κυνηγίας, Φίλαυλος, Κέφαλος, Τηρεύς, Οἰνοπίων, Ἄντυλλος (καὶ αὐτὸ Φιλεταίρου, ὡς δέ τινες Νικοστράτου), Ἀταλάντη, Λαμπαδηφόροι.

φ 309 Φιλαιτίων: τῶν ἐπιλαμβανομένων.

φ 310 Φιλέας· εἰ καὶ Φιλέας Ἀνδοκίδην ἱεροσυλίας ἐγράψατο· ὥσπερ οὐκ αὐτὸς ὤν, ὁ τῆς θεοῦ τὸ γοργόνειον ἐκ τῆς ἀκροπόλεως ὑφελόμενος.

φ 311

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φίλεως: ὄνομα κύριον.

φ 312 Φιλεργός: φιλόπονος. οἱ μὲν ὑπὸ ῥαθυμίας καὶ τῆς πρὸς τὸ φιλεργεῖν μαλακίας ἀνόητοι καὶ ἀμαθεῖς ἐπανῆκον αὐτῷ.

φ 313 Φιλέρημος.

φ 314 Φιλεριστῆσαι: φιλονεικῆσαι. Μένανδρος· τὸ γὰρ φίλερι τῆς φιλοπρωτείας μεταξὺ αὐτῶν συμπεσὸν διέλυσε τὰς δυνάμεις.

φ 315 Φίλερως. καὶ Φιλέταιρος, ὄνομα κύριον.

φ 316 Φιλέψιος: ἦν δὲ φιλοπαίγμων. Δημοσθένης κατὰ Τιμοκράτους. Φιλεψίου μνημονεύουσιν οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί, ἐπὶ τῷ μεταξὺ τῶν δημηγοριῶν μύθους λέγειν. κεκωμῴδηται δὲ καὶ εἰς πανουργίαν. λύσις ὀνείρου· φιλεῖν ἐγείρει δυσμενῶν μακρὰς μάχας.

φ 317 Φιλεῖ γάρ πως: τέρπεται γάρ πως· ἢ ἔθος γάρ πως. φιλεῖ γὰρ τὰ πολλὰ ἑτέρως τρέπεσθαι. τουτέστι συμβαίνει, ἔθος ἔχει ἄλλως ἀποβαίνειν ἢ ὡς προσδοκᾷ τις· εὐμετάβολοι γάρ εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου ἐπί τι μάθημα ἐρχόμενοι. ἕως οὗ ἐπιθυμεῖ πράξειν τὸν μισθόν.

φ 318 Φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.

φ 319 Φιλλεῖδαι: γένος ἐστὶν Ἀθήνησιν· ἐκ δὲ τούτων ἡ ἱέρεια τῆς Δήμητρος καὶ Κόρης, ἡ μύουσα τοὺς μύστας ἐν Ἐλευσῖνι.

φ 320 Φίληβος.

φ 321 Φιληδίας: φιληδονίας, ἀνοίας. ὑμεῖς δὲ γρυλλίζοντες ὑπὸ φιληδίας ἕπεσθε μητρὶ χοῖροι. Ἀριστοφάνης Πλούτῳ.

φ 322 Φιλήδονος.

φ 323 Φιληδῶν: φιλῶν, ἀγαπῶν. ἀλλὰ Κόρινθος ἔδεκτο φιλόξενος, ᾗ σὺ φιληδῶν οὕτως ἀρέσκῃ, κεῖθι καὶ μένειν ἔγνως.

φ 324 Φίλη κεφαλή: προσφιλέστατε.

φ 325 Φιληκοΐα. καὶ Φιλήκοος, φιλομαθής.

φ 326 Φιληλιαστής: ὁ φιλόδικος παρὰ Ἀριστοφάνει· φιληλιαστής ἐστιν ὡς οὐδεὶς ἀνήρ. ἀντὶ τοῦ φιλόδικος· Ἡλιαία γὰρ Ἀθήνησι δικαστήριον μέγιστον.

φ 327 Φιλήμων, Συρακούσιος, υἱὸς Δάμωνος, καὶ αὐτὸς κωμικὸς τῆς νέας κωμῳδίας. ἤκμαζεν ἐπὶ τῆς Ἀλεξάνδρου βασιλείας, βραχεῖ Μενάνδρου πρότερος. ἔγραψε δὲ κωμῳδίας πρὸς ϟʹ, καὶ ἐβίωσεν ἔτη ϟθʹ, εἰσὶ δὲ οἳ λέγουσιν αʹ καὶ ρʹ· ἐτελεύτησε δὲ ὑπὸ σφοδροῦ γέλωτος. περὶ γέλωτος θανατηφόρου· ὃν ἄξιον εἰπεῖν σαρδάνιον, ὡς μὴ ὤφελε γελάσαι.

φ 328 Φιλήμων. ἡ κλητικὴ ὦ Φιλῆμον. οὗτος βιώσας ἔτη αʹ καὶ ρʹ ἄπηρος ἦν τὸ σῶμα· καὶ μέντοι καὶ τὰς αἰσθήσεις πάσας ἀσινεῖς εὐμοιρίᾳ τινὶ διεσώσατο. ὁμολογοῦσι δήπου καὶ τοῦτο· πολεμούντων δὲ Ἀθηναίων καὶ Ἀντιγόνου, Πειραιεῖ διαιτώμενος ὁ Φιλήμων ὄναρ ὁρᾷ κόρας ἐξιούσας θʹ τῆς οἰκίας αὐτοῦ· ἐδόκει δὲ ἐρέσθαι αὐτάς, τί βουλόμενοι καταλείπουσιν, αὐτῶν δὲ ᾤετο ἀκοῦσαι λεγουσῶν ἔξω θυρῶν ἰέναι, μὴ γὰρ εἶναι θεμιτὸν ἀκοῦσαι αὐτάς· καὶ τὸν μὲν ὄνειρον ἐνταῦθα παύσασθαι· αὐτὸς δὲ διυπνισθεὶς τῷ παιδὶ περιηγεῖται ἅ τε εἶδε καὶ ὅσα ἤκουσε καὶ ἅτινα εἶπεν. εἶτα μέντοι ἔγραψε τὰ λοιπὰ τοῦ δράματος, ὅπερ οὖν ἔτυχε διὰ τῆς παρούσης ἄγων φροντίδος. καὶ ἐπιλυσάμενος ἡσυχῇ ἔκειτο· κᾆτα ὑπερέγχε. καὶ οἵ γε ἔνδον ᾤοντο καθεύδειν αὐτόν. ἐπεὶ δὲ μακρὸν τοῦτο ἦν, ἐκκαλύψαντες τεθνεῶτα ἐθεάσαντο. οὐκοῦν, ὦ Ἐπίκουρε, παρῆσαν δὲ καὶ Φιλήμονι ἐννέα Μοῦσαι, καὶ ὅτε ἔμελλε τὴν ἐπινησθεῖσάν οἱ καὶ τελευταίαν ὁδὸν ἰέναι, ᾤχοντο ἀπιοῦσαι· θεοῖς γὰρ οὐδαμῇ θεμιτὸν ὁρᾶν

ἔτι νεκρούς, καὶ ἐὰν ὦσι πάνυ φίλοι, οὐδὲ ὄμμα χραίνειν θανασίμοισιν ἐκπνοαῖς. σὺ δὲ λέγεις αὐτοὺς μὴ ἡμῖν προσέχειν, ὦ μῶρε. οὕτω φησὶν Αἰλιανὸς ἐν τῷ Περὶ προνοίας.

φ 329 Φιλήμων, ὁ νεώτερος, καὶ αὐτὸς κωμικός, υἱὸς Φιλήμονος τοῦ κωμικοῦ. ἐδίδαξε δὲ δράματα νδʹ.

φ 330 Φιλήνεμος· ἐν Ἐπιγράμμασι· καὶ αὖθις· αὐλὸν καμινευτῆρα τὸν φιλήνεμον.

φ 331 Φίληξ: ὄνομα κύριον.

φ 332 Φιλήτας, Κῷος, υἱὸς Τηλέφου, ὢν ἐπί τε Φιλίππου καὶ Ἀλεξάνδρου, γραμματικὸς κριτικός· ὃς ἰσχνωθεὶς ἐκ τοῦ ζητεῖν τὸν καλούμενον Ψευδόμενον λόγον ἀπέθανεν. ἐγένετο δὲ καὶ διδάσκαλος τοῦ δευτέρου Πτολεμαίου. ἔγραψεν ἐπιγράμματα, καὶ ἐλεγείας καὶ ἄλλα.

φ 333 Φιλήτας, ὁ Ἐφέσιος. ζήτει ἐν τῷ Βάκις.

φ 334 Φιληταί: οὕτω λέγονται καὶ οἱ κλέπται. καὶ οἱ φιλοῦντες. οἱ δὲ φιληταὶ οἵ ποτε τριλλίστως ἀντίον ἐρχόμενοι, νῦν μέγα πεφρίκασι.

φ 335 Φιλητέων: ληστῶν. ἤτοι κατὰ ἀντίφρασιν ἢ κατὰ ὑφαίρεσιν τοῦ υ πάνυ φιλητέων, κλεπτῶν.

φ 336 Φιλητής: ὁ ἐραστής. Φιλήτης δὲ ὁ κλέπτης.

φ 337 Φιλία: ἡ οἰκεία χώρα, ὡς πολεμία, ἡ ἀλλοτρία. ὁ δὲ ὕπατος ἅτε ἐν τῇ φιλίᾳ ὢν πολὺ διέφερε.

φ 338 Φιλία· Δαμάσκιός φησι· περὶ γὰρ οὐδεμίαν τῶν πολλῶν ἀρετῶν οὕτως ἐσπούδακας ὡς περὶ τὴν μητέρα αὐτῶν, κατὰ τὸν Πυθαγόραν εἰπεῖν, αὐτὴν τὴν φιλίαν.

φ 339 Φιλιάζω: φίλος γίνομαι. ὦ Ἰωσαφάτ, εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς ἢ μισουμένῳ ὑπὸ κυρίου φιλιάζεις, διὰ τοῦτο ἐγένετο ἐπὶ σὲ ὀργὴ κυρίου, εἰ μὴ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί.

φ 340 Φιλικήσιμος: ἄρχων ἐπὶ Αὐρηλιανοῦ βασιλέως.

φ 341 Φιλῖνος.

φ 342 Φίλιος: ὁ τὰ περὶ τὰς φιλίας ἐπισκοπῶν. Μένανδρος Ἀνδρογύνῳ· μαρτύρομαι τὸν Φίλιον, ὦ Κράτων, Δία. Φερεκράτης Κραπατάλοις· τοῖς δὲ κριταῖς τοῖς νυνὶ κρίνουσι λέγω μὴ ἐπιορκεῖν μηδ᾽ ἀδίκως κρίνειν, ἢ νὴ τὸν Φίλιον, μῦθον εἰς ὑμᾶς ἕτερον Φιλοκράτης λέξει πολὺ τούτου κακηγοριστότερον.

φ 343 Φιλλίωνος: ὄνομα κύριον.

φ 344 Φιλιππήσιοι.

φ 345 Φιλιππίδης, Ἀθηναῖος, κωμικὸς καὶ αὐτὸς τῆς νέας κωμῳδίας, υἱὸς Φιλοκλέους· ἦν δὲ ἐπὶ τῆς ριαʹ ὀλυμπιάδος. ἐδίδαξε καὶ αὐτὸς δράματα μεʹ.

φ 346 Φιλιππίδης: τῶν πολιτευομένων παρ᾽ Ἀθηναίοις εἷς ἦν. ἐδόκει δὲ ἰσχνὸς εἶναι τὸ σῶμα. διὸ καὶ Ἄλεξις πεφιλιππῶσθαι ἔφη ἀντὶ τοῦ ἐλεπτύνθαι.

φ 347 Φιλιππίδης, Ἀθηναῖος, ἡμεροδρόμος· ὃς χίλια πεντακόσια στάδια ἤνυσε διὰ μιᾶς νυκτὸς καὶ ἡμέρας, πρὸς Λακεδαιμονίους ἀφικόμενος. ὁ δὲ νόμος οὐκ εἴα στρατεύειν αὐτοὺς πρὸ πανσελήνου.

φ 348 Φιλιππικός, ὁ καὶ Βαρδάνης, Ἰουστινιανὸν βασιλέα ἀνελών, ἀσέμνως καὶ ῥᾳθύμως τὰ βασίλεια διέπων ἐφαίνετο τούς τε ἐν τῇ οἰκουμενικῇ συνόδῳ πατέρας ἀναθέματι καθυπέβαλε, τὰ παρ᾽ αὐτῶν ἐνθέως δογματισθέντα δύο τοῦ Σωτῆρος θελήματα καὶ ἐνεργείας μὴ ἀποδεχόμενος· συλλήπτορας εὑρηκὼς Ἰωάννην τὸν τηνικαῦτα τῆς πόλεως ἀρχιερέα καὶ Γερμανὸν τὸν Κυζίκου μητροπολίτην καὶ ἑτέρους ἱερεῖς καὶ συγκλητικοὺς πλείστους.

φ 349 Φιλιππικός, στρατηγὸς τῶν ἑῴων στρατιωτῶν. οὗτος ἔσχεν Ἡράκλειον τὸν Ἡρακλείου τοῦ βασιλέως πατέρα ὑποστράτηγον. δυστυχήσαντος δὲ ἐν πολέμῳ τοῦ Φιλιππικοῦ καὶ ἀπομάχου

γενομένου, ὁ Ἡράκλειος ἐγχειρίζεται τὸ ὁπλιτικόν. ἦν δὲ ὁ Φιλιππικὸς γαμβρὸς Μαυρικίου ἐπὶ θυγατρί.

φ 350 Φιλιππίων: ὄνομα κύριον.

φ 351 Φίλιππος, Ἀμφιπολίτης, ἱστορικός. Ῥοδιακὰ βιβλία ιθʹ· ἔστι δὲ τῶν πάνυ αἰσχρῶν· Κῳακὰ βιβλία βʹ, Θασιακὰ βιβλία βʹ· καὶ ἄλλα.

φ 352 Φίλιππος, σοφιστής, ὁ γράψας περὶ πνευμάτων, ἐκ τῶν Ἡρωδιανοῦ, κατὰ στοιχεῖον· καὶ περὶ συναλοιφῆς.

φ 353 Φίλιππος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Κωδωνιασταί· ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

φ 354 Φίλιππος ὁ βασιλεὺς νικήσας Ἀθηναίους τὴν ἐν Χαιρωνείᾳ μάχην οὐ τοσοῦτον ἤνυσε διὰ τῶν ὅπλων ὅσον διὰ τῆς ἐπιεικείας καὶ φιλανθρωπίας τῶν τρόπων· τῷ μὲν γὰρ πολέμῳ καὶ τοῖς ὅπλοις αὐτῶν μόνων περιεγένετο καὶ κύριος κατέστη τῶν ἀντιταξαμένων, τῇ δ’ εὐγνωμοσύνῃ καὶ μετριότητι πάντας Ἀθηναίους ἅμα καὶ τὴν πόλιν αὐτῶν ἔσχεν ὑποχείριον, οὐκ ἐπιμετρῶν τῷ θυμῷ τοῖς πραττομένοις, ἀλλὰ μέχρι τούτου πολεμῶν καὶ φιλονεικῶν ἕως τοῦ λαβεῖν ἀφορμὰς πρὸς ἀπόδειξιν τῆς αὐτοῦ πραότητος καὶ καλοκαγαθίας. τοιγαροῦν χωρὶς λύτρων ἀποστείλας τοὺς αἰχμαλώτους καὶ κηδεύσας τῶν Ἀθηναίων τοὺς τετελευτηκότας, ἔτι δὲ καὶ συνθεὶς Ἀντιπάτρῳ τὰ τούτων ὀστᾶ καὶ τῶν ἀπαλλαττομένων τοὺς πλείστους ἀμφιέσας, διὰ τὴν ἀγχίνοιαν μεγίστην πρᾶξιν ἀπειργάσατο· τὸ γὰρ Ἀθηναίων φρόνημα καταπληξάμενος τῇ μεγαλοψυχίᾳ πρὸς πᾶν ἑτοίμους αὐτοὺς ἔσχε συναγωνιστὰς ἀντὶ πολεμίων.

φ 355 Φίλιππος ὁ Μακεδὼν τοῦ ζῆν πολλοὺς ἐστέρησε καὶ τοὺς υἱέας ὕστερον συμπεριέλαβεν, ἐπιφθεγξάμενος τὸν στίχον τοῦτον· νήπιος, ὃς πατέρα κτείνας υἱοὺς καταλείπει.

φ 356 Φιλίππου ἀλεκτρυών: ἐπὶ τῶν ἐν μικροῖς κατορθώμασιν ἀλαζονευομένων.

φ 357 Φιλίσκος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἄδωνις, Διὸς γοναί, Θεμιστοκλῆς, Ὄλυμπος, Πανὸς γοναί, Ἑρμοῦ καὶ Ἀφροδίτης γοναί, Ἀρτεμίδος καὶ Ἀπόλλωνος.

φ 358 Φιλίσκος, Κερκυραῖος, Φιλώτου υἱός, τραγικὸς καὶ ἱερεὺς τοῦ Διονύσου ἐπὶ τοῦ Φιλαδέλφου Πτολεμαίου γεγονώς. καὶ ἀπ’ αὐτοῦ τὸ Φιλίσκιον μέτρον προσηγορεύθη, ἐπείπερ αὐτῷ ἐνεδαψιλεύετο. ἔστι δὲ τῆς δευτέρας τάξεως τῶν τραγικῶν, οἵτινές εἰσιν ζʹ καὶ ἐκλήθησαν Πλειάς. αἱ δὲ τραγῳδίαι αὐτοῦ εἰσι μβʹ.

φ 359 Φιλίσκος, Αἰγινήτης, ὁ διδάξας γράμματα Ἀλέξανδρον τὸν Μακεδόνα. αὐτὸς δὲ ἀκουστὴς ἦν τοῦ Κυνὸς Διογένους, κατὰ δὲ Ἕρμιππον Στίλπωνος. ἔγραψε διαλόγους, ὧν ἐστι Κόδρος.

φ 360 Φιλίσκος, Μιλήσιος, ῥήτωρ, Ἰσοκράτους ἀκουστὴς τοῦ ῥήτορος. ἐγένετο δὲ πρότερον αὐλητὴς παραδοξότατος· διὸ καὶ Αὐλοτρύπην Ἰσοκράτης αὐτὸν ἐκάλει. γέγραπται δὲ αὐτῷ τάδε· Μιλησιακός, Ἀμφικτυονικός, Τέχνη ῥητορικὴ ἐν βιβλίοις δυσίν, Ἰσοκράτους ἀπόφασις.

φ 361 Φιλίσκος ἢ Φίλιστος, Συρακούσιος, ἱστορικός. ἦν δὲ συγγενὴς Διονυσίου τοῦ τυράννου Σικελίας καὶ ἐν τῇ πρὸς Καρχηδονίους ναυμαχίᾳ ἐτελεύτησε. μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ. ἔγραψε Σικελικά· ἔστι δὲ τὰ πρὸς Ἕλληνας αὐτοῖς πραχθέντα διαφόρως· καὶ Γενεαλογίαν, Περὶ Φοινίκης, καὶ ἄλλα τινά· Περὶ τῆς νήσου Σικελίας.

φ 362 Φιλίσκος, Αἰγινήτης· ὃς κατὰ θέαν ἐλθὼν τῶν Ἀθηναίων, ἀκούσας Διογένους ἐφιλοσόφησεν. ὁ δὲ τούτου πατὴρ ἀπέστειλεν ἐπ’ αὐτὸν τὸν ἀδελφόν, καὶ ταυτὸν ἔπαθε καὶ οὗτος· καὶ ὁ πατὴρ πάλιν ἐπ’ ἀμφοτέρους ἐλθὼν ἐφιλοσόφησε καὶ αὐτός. ἐγένετο δὲ αὐτοῦ ὁμιλητὴς καὶ Φωκίων ὁ χρηστός. τελευτήσας δὲ ἐν Κορίνθῳ κεῖται, καὶ κύων ἐστὶν ἐπὶ τῷ μνήματι. ἐτιμήθη δὲ εἰκόνι παρὰ Σινωπέων καὶ ἐπιγράμματι· γηράσκει καὶ χρυσὸς ὑπὸ χρόνου· ἀλλὰ σὸν οὔτι κῦδος ὁ πᾶς αἰών, Διόγενες, καθελεῖ. μοῦνος ἐπεὶ βιοτᾷ αὐταρκέα δόξαν ἔδειξας θνητοῖς οἷς ζωῆς οἶμος ἐλαφροτάτη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φ 363 Φιλιστίδης: ὄνομα κύριον.

φ 364 Φιλιστίων, Προυσαεύς, ἢ ὡς Φίλων Σαρδιανός, κωμικός. τελευτᾷ δὲ ἐπὶ Σωκράτους. ὃς ἔγραψε κωμῳδίας βιολογικάς. τελευτᾷ δὲ ὑπὸ γέλωτος ἀπείρου. δράματα δὲ αὐτοῦ Μιμοψηφισταί. οὗτός ἐστιν ὁ γράψας τὸν Φιλόγελων, ἤγουν τὸ βιβλίον τὸ φερόμενον εἰς τὸν Κουρέα. Νικαεὺς δὲ μᾶλλον παρὰ πᾶσιν ᾄδεται, ὡς μαρτυρεῖ τὸ ἐπίγραμμα· ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον γέλωτι κεράσας Νικαεὺς Φιλιστίων. τοῦ αὐτοῦ αἵματος ἦν Φιλήμονι, ὃς καὶ οὗτος γελῶν καταστρέφει τὸν βίον.

φ 365 Φίλιστος, Ναυκρατίτης ἢ Συρακούσιος, Ἀρχωνίδου υἱός. μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ· ὃς πρῶτος κατὰ τὴν ῥητορικὴν τέχνην ἱστορίαν ἔγραψε. συνέταξε δὲ Τέχνην ῥητορικήν, Αἰγυπτιακὰ ἐν βιβλίοις ιβʹ, Σικελικὰ ἐν βιβλίοις ιαʹ, Πρὸς τὸν Τρικάρανον λόγον περὶ Ναυκράτεως, Περὶ Διονυσίου τοῦ τυράννου βιβλία ϛʹ, Περὶ τῆς Αἰγυπτίων θεολογίας βιβλία γʹ, Δημηγορίας· καὶ ἄλλα τινά. Περὶ Συρίας καὶ Λιβύης.

φ 366 Φιλίτια: συμπόσια, μεμιγμένους ἔχοντα ταῖς ἡδοναῖς τοὺς πόνους. οὐ γὰρ στρωμνή τις ὑπέκειτο εὐωχουμένοις, ἀλλ' ὑπὸ τοῖς ἀγκῶσι κοιλανθεὶς λίθος ἢ ξύλον. οἱ δὲ πατέρες, φησί, τῆς τοῦ σώματος φιλίας. ἐς τὸ ἀρχαῖον καθισταμένους πάντα· ὅθεν παλαῖστραι ἀνήβησαν καὶ τὰ φιλίτια ἐπανῆλθεν.

φ 367 Φίλιοι: προσφιλέστατοι.

φ 368 Φιλογόνιος: ὄνομα κύριον.

φ 369 Φιλογύννις, φιλογύννιδος.

φ 370 Φιλοδεσποτεύομαι: οὕτως Ἀναξίλας.

φ 371 Φιλοδωρία: ἡ μετὰ προθυμίας δωρεά. ὁ δὲ ἀπολαυσάτω τῆς τῶν ἐχθρῶν φιλοδωρίας.

φ 372 Φιλόζῳος.

φ 373 Φιλοθεάμονες: φιλοθεωρηταί.

φ 374 Φιλοθηρεῖ: φιλεῖ ἀγρεύειν.

φ 375 Φιλόθηρος· αὐτοφυέστατον καὶ μὴ ἐπίπλαστον ἔχουσα κάλλος, καὶ οἷον γένοιτο φιλοθήρου κόρης.

φ 376 Φιλοκάλως: καθαρῶς.

φ 377 Φιλόκενον στόμα. ματαιολόγον.

φ 378 Φιλοκλῆς, Πολυπείθους, Ἀθηναῖος, τραγικός, τοῖς χρόνοις μετὰ Εὐριπίδην. ἐπεκαλεῖτο δὲ Χολὴ διὰ τὸ πικρόν. ἔγραψε τραγῳδίας ρʹ, ὧν ἐστι καὶ ταῦτα· Ἠριγόνη, Ναύπλιος, Οἰδίπους, Οἰνεύς, Πρίαμος, Πηνελόπη, Φιλοκτήτης. Αἰσχύλου δὲ τοῦ τραγικοῦ ἦν ἀδελφιδοῦς καὶ ἔσχεν υἱὸν Μόρσιμον, τὸν τραγικόν· οὗτινος γίνεται Ἀστυδάμας ὁ τραγικός. τούτου δ' ἕτερος Φιλοκλῆς, τραγικός.

φ 379 Φιλοκλῆς, κωμῳδίας ποιητής, αἰσχροπρόσωπος. ἦν δὲ προκέφαλος, ὡς ἔποψ, ἤγουν ὀξυκέφαλος· Αἰσχύλου ἀδελφῆς υἱός. οἱ δὲ Ἁλμίωνα αὐτόν φασιν ἐπιθετικῶς, διὰ τὸ πικρὸν εἶναι· ἅλμη γὰρ ἡ πικρία. εἴρηται οὖν ἐπὶ τῶν ὀξυκεφάλων.

φ 380 Φιλοκομπῶν: μεγαλορρημονῶν, ὁ ἑαυτὸν ὑψῶν.

φ 381 Φιλοκράτης ὁ Στρούθιος, ὥσπερ Μήλιος. ἦν δὲ ὀρνιθοθήρας. ἢν ἀποκτείνῃ τις ὑμῶν Φιλοκράτη τὸν Στρούθιον, λήψεται τάλαντον· ἢν δὲ ζῶντα αὐτὸν ἀγάγῃ, τέσσαρα· ὅτι συνείρων τοὺς σπίνους πωλεῖ καθ' ἑπτὰ τοῦ ὀβολοῦ. εἶτα φυσῶν τὰς κίχλας δείκνυσι πᾶσι καὶ λυμαίνεται, τοῖς τε κοψίχοισιν εἰς τὰς ῥῖνας ἐγχεῖ τὰ πτερά, τὰς περιστεράς θ' ὁμοίως ξυλλαβὼν εἵρξας ἔχει, κἀπαναγκάζει παλεύειν δεδεμένας ἐν δικτύῳ.

φ 382 Φιλοκτέανος: φιλοχρήματος, φιλοκτήμων.

φ 383 Φιλοκτήτης.

φ 384 Φιλόλαος: ὄνομα κύριον. οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη, ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

φ 385 Φιλομαθής: ὁ ἔμπειρος. Ξενοφῶν· δεῖ δὴ φιλομαθῆ τούτων ἁπάντων ὄντα, οὐχ οἷς ἂν μάθοις τούτοις μόνοις χρῆσθαι, ἀλλὰ καὶ ποιητὴν εἶναι τῶν πρὸς τοὺς πολεμίους μηχανημάτων. καὶ Φιλομαθεία.

φ 386 Φιλομειδής: φιλόγελως. Φιλομηδὴς δὲ ἡ Ἀφροδίτη.

φ 387 Φιλομηλείδης.

φ 388 Φιλόμηλος.

φ 389 Φιλομισής.

φ 390 Φίλον: οὐδετέρως. δεῦρο δή, φίλον ἐμόν.

φ 391 Φιλονεικία. καὶ Φιλονεικῶ· δοτικῇ.

φ 392 Φιλονείκιος.

φ 393 Φιλόξενος, Εὐλυτίδου, Κυθήριος, λυρικός. ἔγραψε διθυράμβους κδʹ· τελευτᾷ δὲ ἐν Ἐφέσῳ. οὗτος ἀνδραποδισθέντων τῶν Κυθήρων ὑπὸ Λακεδαιμονίων ἠγοράσθη ὑπὸ Ἀγεσύλου τινὸς καὶ ὑπ’ αὐτοῦ ἐτράφη καὶ Μύρμηξ ἐκαλεῖτο. ἐπαιδεύθη δὲ μετὰ τὸν θάνατον Ἀγησιλάου, Μελανιππίδου πριαμένου αὐτὸν τοῦ λυρικοῦ. Καλλίστρατος δὲ Ἡρακλείας αὐτὸν γράφει Ποντικῆς. ἔγραψε δὲ μελικῶς Γενεαλογίαν τῶν Αἰακιδῶν.

φ 394 Φιλόξενος, Ἀλεξανδρεύς, γραμματικός· ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ. Περὶ μονοσυλλάβων ῥημάτων, Περὶ σημείων τῶν ἐν τῇ Ἰλιάδι, Περὶ τῶν εἰς μι ληγόντων ῥημάτων, Περὶ διπλασιασμοῦ, Περὶ μέτρων, Περὶ τῆς τῶν Συρακουσίων διαλέκτου, Περὶ ἑλληνισμοῦ ϛʹ, Περὶ συζυγιῶν, Περὶ γλωσσῶν εʹ, Περὶ τῶν παρ’ Ὁμήρῳ γλωσσῶν, Περὶ τῆς Λακώνων διαλέκτου, Περὶ τῆς Ἰάδος διαλέκτου, καὶ τῶν λοιπῶν.

φ 395 Φιλόξενος, Λευκαδίου. ὄνομα παρασίτου. τοῦτόν φασιν προλουόμενον ἐν τῇ πατρίδι κἀν ἄλλαις πόλεσι περιέρχεσθαι τὰς οἰκίας, ἀκολουθούντων αὐτῷ παίδων, φερόντων ἔλαιον, γάρον, ὄξος καὶ ἄλλα τῶν ἡδυσμάτων. εἰσιόντα δὲ εἰς τὰς ἀλλοτρίας οἰκίας τὰ ἑψόμενα τοῖς ἄλλοις ἀρτύειν, ἐμβάλλοντα ὧν ἦν χρεία, κᾆθ’ οὕτως εἰς ἑαυτὸν κύψαντα εὐωχεῖσθαι. οὗτος οὖν ὀψοφάγος ὢν καὶ πλεύσας εἰς Ἔφεσον εὗρε τὴν ὀψόπωλιν κενὴν καὶ ἐπύθετο τὴν αἰτίαν· καὶ μαθὼν ὅτι πᾶν εἰς γάμους συνηγόρασται, λουσάμενος παρῆν ἄκλητος καὶ ᾄσας ὑμέναιον μετὰ τὸ δεῖπνον πάντας ἐψυχαγώγησε. καὶ ὁ νυμφίος εἶπε, καὶ αὔριον ὧδε δειπνήσεις· ὁ δὲ ἔφη, ἂν ὄψον μὴ πωλῇ τις. ὁ αὐτὸς ηὔξατο γεράνου τράχηλον ἔχειν, ἵν’ ἐπὶ πολὺν χρόνον καταπίνων ἥδηται. ὁ αὐτὸς Φιλόξενος περιπαθὴς ὢν τοῖς ὄψοις, καὶ δειπνῶν ποτε παρὰ Διονυσίῳ τῷ τυράννῳ, ὡς εἶδεν ἐκείνῳ μεγάλην τρίγλαν παρατεθειμένην, αὐτῷ δὲ μικράν, ἀναλαβὼν αὐτὴν πρὸς τὸ οὖς προσήνεγκεν, ὡς βούλοιτό τινα παρ’ ἐκείνης τῶν κατὰ τὸν Νηρέα πυθέσθαι· τὴν δὲ ἐρομένην ἀποκεκρίσθαι, ὅτι νεωτέρα οὖσα ἁλοίη διὸ μὴ παρακολουθεῖν· τὴν δὲ παρὰ Διονυσίῳ κειμένην, πρεσβυτέραν οὖσαν, πάντα εἰδέναι, ἃ βούλεται μαθεῖν. τὸν οὖν Διονύσιον γελάσαντα ἀποστεῖλαι αὐτῷ τὴν τρίγλαν. οὗτος ἦν ὀψοφάγος· ἀφ’ οὗ καὶ Φιλοξένειοι πλακοῦντες.

φ 396 Φιλοξενότατος καὶ Φιλοξεινότατος.

φ 397 Φιλοξένου γραμμάτιον: ἐπὶ τῶν μὴ πειθομένων, ἐφ’ οἷς παρακαλοῦνται, ἀλλ’ ἀπαγορευόντων μᾶλλον· Φιλόξενος γὰρ ὁ Κυθήριος διαφυγὼν τὰς εἰς Συρακούσας λιθοτομίας, εἰς ἃς ἐνέπεσεν, ὅτι τὰς τοῦ Διονυσίου τοῦ τυράννου τραγῳδίας οὐκ ἐπῄνει, διέτριβεν ἐν Τάραντι τῆς Σικελίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταπεμπομένου δὲ Διονυσίου αὐτὸν καὶ ἀξιοῦντος διὰ γραμμάτων ἐλθεῖν, Φιλόξενος ἀντιγράψαι μὲν οὐκ ἔγνω, λαβὼν δὲ βιβλίον τὸ ο στοιχεῖον ἔγραψε μόνον πολλάκις ἐν αὐτῷ, διὰ τούτου δηλώσας, ὅτι τὴν παράκλησιν διωθεῖται. ζήτει περὶ τούτου ἐν τῷ ἄπαγέ με εἰς τὰς λατομίας.

φ 398 Φιλοξένειοι πλακοῦντες.

φ 399 Φιλόπατρις: ὁ φιλόπολις. καὶ τὸ μὲν φιλόπολις κοινόν, τὸ δὲ φιλόπατρις Ἀττικόν.

φ 400 Φιλοπαίγμονος.

φ 401 Φιλοπευστεῖ: φιλοπραγμονεῖ.

φ 402 Φιλόπευστος: ἡδέως μανθάνων, περίεργος.

φ 403 Φιλοπλάτωνος.

φ 404 Φιλοπονία. ὁμολογούμενα στοιχεῖα καὶ πρῶτα τῆς πολυθεάμονος ἱστορίας, φιλοπονία, ἀγχίνοια. Δαμάσκιός φησι περὶ Ἰσιδώρου.

φ 405 Φιλόπονος: φιλεργός, περὶ τὸ πονεῖν πρόθυμος.

φ 406 Φιλοπονῶ· αἰτιατικῇ.

φ 407 Φιλοπόνων: τῶν εἰθισμένων πονεῖν.

φ 408 Φιλοπότης: ὁ φιλῶν τὸν οἶνον.

φ 409 Φιλοποίμην, Ἀχαιῶν ἱππάρχης· ὃς ἦν ἐξ ἀνδρῶν τῶν ἐπιφανεστάτων ἐν Ἀρκαδίᾳ· ὃς πρῶτα μὲν ἔφυ καλῶς, τραφεὶς καὶ παιδευθεὶς ὑπὸ Κλέανδρον τὸν Μαντινέα, πατρικὸν μὲν αὐτοῖς ξένον ὑπάρχοντα· παραγενόμενος δὲ εἰς ἡλικίαν ἐγένετο ζηλωτὴς Ἐκδήμου καὶ Δημοφάνους, οἳ ἦσαν ἐκ Μεγάλης πόλεως, φεύγοντες δὲ τοὺς τυράννους καὶ συμβιώσαντες Ἀρκεσίλᾳ τῷ φιλοσόφῳ· οἳ συνεπελάβοντο τῆς καταλύσεως Νεοκλέους τοῦ Σικυωνίων τυράννου. ἦν δὲ καὶ περὶ τὸν βίον ἐπιμελὴς καὶ λιτὸς κατὰ τὴν περικοπήν, παρειληφὼς παρὰ τῶν προειρημένων ἀνδρῶν τὰς τοιαύτας δόξας ὡς οὐχ οἷόν τε τῶν κοινῶν προστατεῖν καλῶς τὸν ὀλιγωροῦντα τῶν κατὰ τὸν ἴδιον βίον, οὔτε μὴν ἀποσχέσθαι τῆς πατρίδος, ὅστις πολυτελέστερον ζῇ τῆς κατὰ τὴν ἰδίαν ὕπαρξιν χορηγίας. παραλαβὼν δὲ τοὺς ἱππεῖς παντὶ τρόπῳ κατεφθαρμένους καὶ τὰς ψυχὰς τῶν ἀνδρῶν ἡττημένας οὐ μόνον αὐτοὺς ἑαυτῶν βελτίους, ἀλλὰ καὶ τῶν ὑπεναντίων κρείττους ἐν ὀλίγῳ χρόνῳ κατεσκεύασε, πάντας εἰς ἀληθινὴν ἄσκησιν καὶ ζῆλον ἐπιτευκτικὸν ἐμβιβάσας. τῶν μὲν γὰρ ἄλλων οἱ πλεῖστοι τῶν καθισταμένων ἐπὶ τὴν ἀρχὴν ταύτην, οἱ μὲν διὰ τὴν οἰκείαν ἀδυναμίαν ἐν τοῖς ἱππικοῖς οὐδὲ τοῖς πλησίον τολμῶσιν οὐδένων καθήκειν προστατεῖν, οἱ δὲ τῆς στρατηγίας ὀρεγόμενοι διὰ ταύτης τῆς ἀρχῆς ἐξεριθεύονται τοὺς νέους καὶ παρασκευάζουσιν εὔνους συναγωνιστὰς εἰς τὸ μέλλον, οὐκ ἐπιτιμῶντες τῷ δεομένῳ, δι᾽ οὗ τρόπου σῴζεται τὰ κοινά, συμπεριστέλλοντες τὰς ἁμαρτίας καὶ μικρᾷ χάριτι μεγάλα βλάπτοντες τοὺς πιστεύοντας. εἰ δέ ποτε καὶ γένοιντο τῶν ἀρχόντων τινὲς τῇ τε κατὰ σῶμα χρείᾳ δυνατοὶ πρός τε τὸ τῶν κοινῶν ἀπέχεσθαι πρόθυμοι, πλείω κακὰ τῶν ὀλιγωρούντων διὰ τὴν κακοζηλίαν ἀπεργάζονται τοὺς πεζούς, ἔτι δὲ μᾶλλον τοὺς ἱππεῖς. Φιλοποίμενος Ἀρκάδες μάλιστα ἔχουσι μνήμην, γνώμης τε ἕνεκα καὶ ἔργων ὧν ἐτόλμησε. πατὴρ μὲν οὖν ἦν αὐτῷ Κραῦγις, οὐδενὸς Ἀρκάδων τῶν ἐν Μεγάλῃ πόλει τὰ ἐς γένους δόξαν λειπόμενος· οὗ τελευτήσαντος, διδασκάλοις τε ἄλλοις ὡμίλησε καὶ Μεγαλοφάνει τε καὶ Ἐκδήλῳ, τοῖς Ἀρκεσιλάου τοῦ Πιταναίου μαθητοῦ. μέγεθος μὲν δὴ καὶ σώματος ῥώμην ἀπέδει Πελοποννησίων οὐδενός, τὸ δὲ εἶδος ἦν τοῦ προσώπου κακός. καὶ ἐπὶ μὲν τοὺς στεφανίτας ἀγῶνας ὑπερεφρόνησεν ἀσκῆσαι, γῆν δὲ ἣν ἐκέκτητο ἐργαζόμενος οὐδὲ τὰ θηρία ἠμέλει τὰ ἄγρια ἐξαιρεῖν. ἐπελέγετο δὲ καὶ βιβλία σοφῶν τε τῶν εὐδοκίμων παρ᾽ Ἕλλησι καὶ ὅσα ἐς πολέμων μνήμην καὶ εἴ τι ᾔδει ἔχειν διδασκαλίαν στρατηγημάτων· καταστήσασθαι δὲ τὸν βίον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάντα θέλων γνώμης τῆς Ἐπαμινώνδα καὶ ἔργων εἶναι τῶν ἐκείνου μίμησιν, οὐ πάντα ἦν ἐξισωθῆναι δυνατός· Ἐπαμινώνδᾳ γὰρ τά τε ἄλλα ἡ ψυχὴ καὶ πρᾶος μάλιστα τὰ ἐς ὀργήν, τῷ δὲ Ἀρκάδι μετῆν γε θυμοῦ. καταλαβόντος δὲ Κλεομένους Μεγάλην πόλιν, Φιλοποίμην οὔτε τῆς συμφορᾶς ἐξεπλάγη τὸ ἀπροσδόκητον, καὶ τῶν ἐν ἡλικίᾳ τὰ δύο μάλιστα μέρη καὶ γυναῖκας καὶ παῖδας ἀπέσωσεν ἐς Μεσσήνην. ἐπικηρυκευομένου δὲ Κλεομένους, ὡς μεταγινώσκοντος ἐπὶ τῷ τολμήματι καὶ θέλοντος κατάγεσθαι Μεγαλοπολίτας εἰς τὴν ἑαυτῶν, Φιλοποίμην ἔπεισε μεθ' ὅπλων καὶ οὐ μετὰ σπονδῶν τὴν κάθοδον ποιήσασθαι· γενομένης δὲ πρὸς Κλεομένην μάχης, ὁ Φιλοποίμην ἐν τοῖς ἱππεῦσι ταττόμενος, ὁρῶν τὸ πεζὸν λειπόμενον ὁπλίτης ἑκὼν ἐγένετο καὶ αὐτὸν λόγου ἀξίως κινδυνεύοντα τῶν τις Λακεδαιμονίων δι' ἀμφοτέρων ἔπειρε τῶν μηρῶν. ὁ δὲ καίτοι οὕτως πεπεδημένος τά τε γόνατα ἐνέκλινε καὶ ἐς τὸ πρόσω χωρεῖν ἐβιάζετο, ὥστε καὶ ὑπὸ τῶν ποδῶν τοῦ κινήματος τὸ δόρυ ἔκλασε· μετὰ δὲ τὴν νίκην ἐς τὸ στρατόπεδον ἀχθέντος ἐνταῦθα ἐξ ἀμφοτέρων αὐτῶν τῶν μηρῶν οἱ ἰατροὶ τῇ μὲν τὸν σαυρωτῆρα ἐξεῖλκον, τῇ δὲ τὴν αἰχμήν. Ἀντίγονος δέ, ὡς εἶδεν αὐτοῦ τὰ τολμήματα, ἔσπευδεν ἀγαγεῖν αὐτὸν ἐς Μακεδονίαν. Φιλοποίμενι δὲ τούτου μὲν οὐδὲν ἐμέλησε· περαιωθεὶς δὲ ἐς Κρήτην μισθοφόρος ἡγεμὼν αὖθις ἐπανῆκεν ἐς Μεγάλην πόλιν καὶ ᾑρέθη ἄρχειν τῶν Ἀχαιῶν.

φ 410 Φίλος: ἀντὶ τοῦ ὄφελος. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ· οἴμοι τάλαινα, τῆς ἐμῆς πάλαι τροφῆς ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε μητρὸς σύγ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος.

φ 411 Φίλος: ἀντὶ τοῦ χρήσιμος. τίς γὰρ ἐσθλὸς οὐχ αὑτῷ φίλος; ὁ γὰρ ἀγαθὸς αὑτῷ τε καὶ τοῖς φίλοις χρήσιμος.

φ 412 Φίλος: ἕτερος αὐτός. τῶν δ' ἀγαθῶν τε καὶ αἱρετῶν τὰ μὲν δι' αὑτά ἐστιν αἱρετά, ὡς ἡ εὐδαιμονία καὶ ὅσα τίμια, τὰ δὲ δι' ἕτερον, οἷον τέμνεσθαι, γυμνάζεσθαι, χρηματίζεσθαι. δι' αὑτὰ δὲ αἱρετὰ καὶ δι' ἕτερα, οἷον αἱ ἀρεταί· καὶ γὰρ δι' αὐτὰς καὶ διὰ τὴν εὐδαιμονίαν αἱρούμεθα. καὶ τὴν μὲν ὑγίειαν δι' αὑτὴν αἱρούμεθα, τὸ δὲ γυμνάζεσθαι διὰ τὴν ὑγίειαν· αἱρετώτερον ἄρα ἡ ὑγιεία τοῦ γυμνάζεσθαι. καὶ εἰ τὸν μὲν φίλον αἱρούμεθα ὡς αὑτούς, εἴγε ὁ φίλος ἕτερος αὐτός, τὰ δὲ χρήματα δι' αὑτούς, αἱρετώτερος ἄρα ὁ φίλος τῶν χρημάτων· αἱρετὸς γὰρ ἕκαστος αὐτὸς ἑαυτῷ, ὥστε καὶ φίλος. ἀλλὰ καὶ ὕπνου ἐγρήγορσις αἱρετωτέρα, εἰ ὁ ὕπνος ἐπὶ τὴν ἐγρήγορσιν ἔχει τὴν ἀναφοράν· ἵνα γὰρ δυνώμεθα ἐγρηγορέναι, ὕπνου καὶ ἀναπαύσεως δεόμεθα. οὕτως ἂν δεικνύοιτο καὶ φιλοσοφία ῥητορικῆς αἱρετωτέρα.

φ 413 Φιλοσκώμμονος.

φ 414 Φιλοσοφεῖν: σπουδάζειν. ὅτι εἰ λέγοι τις, μὴ χρὴ φιλοσοφεῖν· ἐπεὶ φιλοσοφεῖν λέγεται καὶ τὸ ζητεῖν αὐτὸ τοῦτο, εἰ χρὴ φιλοσοφεῖν ἢ μή, ἀλλὰ καὶ τὸ τὴν φιλόσοφον θεωρίαν μετιέναι· ἑκάτερον αὐτῶν δείξαντες οἰκεῖον πανταχόθεν τῷ ἀνθρώπῳ, πανταχόθεν ἀναιρήσομεν τὸ τιθέμενον.

φ 415 Φιλοσοφεῖν: ἀντὶ τοῦ πονεῖσθαι. φιλοσοφεῖ δὲ τοῦτο, ὅπως καταπράξηται τὸν γάμον. ἔφη Μένανδρος οὕτως, καὶ Ἰσοκράτης.

φ 416 Φιλοσοφία. Φιλοσοφία ἐστὶν ἠθῶν κατόρθωσις μετὰ δόξης τῆς περὶ τοῦ ὄντος γνώσεως ἀληθοῦς. ταύτης δὲ ἀπεσφάλησαν Ἰουδαῖοι καὶ Ἕλληνες. διαιρεῖται δὲ ἡ φιλοσοφία εἰς ἠθικήν, θεολογικήν, φυσικήν. καὶ ἡ ἀληθεστάτη γνῶσις τῆς ψυχῆς πρὸς πᾶσαν φιλοσοφίαν συμβάλλεται. καὶ πρὸς μὲν τὴν ἠθικήν, ὅτι ἀδύνατον ἡμᾶς τὰ ἑαυτῶν κατακοσμῆσαι ἤθη, τὰς δυνάμεις τῆς ψυχῆς μὴ ἐπεσκεμμένους· πρὸς δὲ θεολογίαν, ὅτι ζητοῦμεν περὶ τοῦ νοῦ τοῦ χωριστοῦ τοῦ ἐν ἡμῖν, ὅτι καὶ αὐτὸς ἀθάνατος· ἐπειδὴ δὲ καὶ ὁ νοῦς νοητῶν ἐστι· νοῦς τῶν πρός τι ἐστί, τῶν δὲ πρός τι ὁ τὸ ἓν εἰδὼς καὶ τὸ ἕτερον εἴσεται. δῆλον δέ, ὅτι ἡ θεωρία τοῦ ἡμετέρου νοῦ καὶ εἰς θεολογίαν μεγάλα συμβάλλεται· συμβάλλεται δὲ ἡμῖν καὶ πρὸς τὴν

φυσικήν, εἴγε φυσικοῦ μέν ἐστιν ἔργον τὸ περὶ τῶν σωμάτων διαλεχθῆναι καὶ τῶν εἰδῶν αὐτῶν καὶ δυνάμεων, τῶν δὲ ἐν σώμασιν εἰδῶν τὸ κάλλιστον, ἡ ψυχή. ζήτει καὶ ἑτέραν φιλοσοφίαν ἐν τῷ δύναμις, καὶ ἑτέραν ἐν τῷ διότι, καὶ ἑτέραν ἐν τῷ αἵρησις.

φ 417 Φιλοσοφίας ὄφελος, τὸ μηδὲν ἡγεῖσθαι δεινὸν ἀναχωρῆσαι τοῦ θυλακίου τῶν κρεϋλλίων καὶ πρὸς γυναῖκα καὶ παῖδας ἄτεγκτον ἔσεσθαι.

φ 418 Φιλόσοφος, ὃς τοὺς Πλάτωνος Νόμους διεῖλεν εἰς βιβλία ιβʹ, τὸ γὰρ ιγʹ αὐτὸς προσθεῖναι λέγεται. καὶ ἦν Σωκράτους καὶ αὐτοῦ Πλάτωνος ἀκουστής, σχολάσας τοῖς μετεώροις. ὢν δὲ κατὰ Φίλιππον τὸν Μακεδόνα συνεγράψατο τάδε· Περὶ τῆς ἀποστάσεως ἡλίου καὶ σελήνης, Περὶ θεῶν βʹ, Περὶ χρόνου ἕν, Περὶ μύθων αʹ, Περὶ ἐλευθερίας αʹ, Περὶ ὀργῆς αʹ, Περὶ ἀνταποδόσεως αʹ, Περὶ Λοκρῶν τῶν Ὀπουντίων, Περὶ ἡδονῆς αʹ, Περὶ ἔρωτος αʹ, Περὶ φίλων καὶ φιλίας αʹ, Περὶ τοῦ γράφειν, Περὶ Πλάτωνος, Περὶ ἐκλείψεως σελήνης, Περὶ μεγέθους ἡλίου καὶ σελήνης καὶ γῆς αʹ, Περὶ ἀστραπῶν, Περὶ πλανητῶν, Ἀριθμητικά, Περὶ πολυγόνων ἀριθμῶν, Ὀπτικῶν βʹ, Ἐνοπτικῶν βʹ, Κυκλιακά, Μεσότητας· καὶ ἄλλα.

φ 419 Φιλόσοφος· ὅτι μείζονα τὸν βίον εὐεργετεῖ φιλόσοφος ἀνὴρ ἤπερ ἄριστος βασιλεύς.

φ 420 Φιλοσοφῶ· αἰτιατικῇ.

φ 421 Φιλόστρατος, Φιλοστράτου τοῦ καὶ Βήρου, Λημνίου σοφιστοῦ, καὶ αὐτὸς δεύτερος σοφιστής, σοφιστεύσας ἐν Ἀθήναις, εἶτα ἐν Ῥώμῃ, ἐπὶ Σευήρου τοῦ βασιλέως καὶ ἕως Φιλίππου. ἔγραψε μελέτας, Ἐπιστολὰς ἐρωτικάς, Εἰκόνας ἤτοι ἐκφράσεις ἐν βιβλίοις δʹ, Ἀγοράν, Ἡρωϊκόν, Διαλέξεις, Αἶγας ἢ περὶ αὐλοῦ, Ἀπολλωνίου βίον τοῦ Τυανέως ἐν βιβλίοις ηʹ, Βίους σοφιστῶν ἐν βιβλίοις δʹ, Ἐπιγράμματα, καὶ ἄλλα τινά. πλὴν πρῶτος ὀφείλει κεῖσθαι.

φ 422 Φιλόστρατος ὁ πρῶτος, Λήμνιος, υἱὸς Βήρου, πατὴρ δὲ τοῦ δευτέρου Φιλοστράτου, σοφιστὴς καὶ αὐτός, σοφιστεύσας ἐν Ἀθήναις, γεγονὼς ἐπὶ Νέρωνος. ἔγραψε λόγους πανηγυρικοὺς πλείστους καὶ λόγους Ἐλευσινιακοὺς δʹ, μελέτας, Ζητούμενα παρὰ τοῖς ῥήτορσι, Ῥητορικὰς ἀφορμάς, Περὶ τοῦ ὀνόματος· ἔστι δὲ πρὸς τὸν σοφιστὴν Ἀντίπατρον· Περὶ τραγῳδίας βιβλία γʹ, Γυμναστικόν· ἔστι δὲ περὶ τῶν ἐν Ὀλυμπίᾳ ἐπιτελουμένων· Λιθογνωμικόν, Πρωτέα, Κύνα ἢ Σοφιστήν, Νέρωνα, Θεατήν, τραγῳδίας μγʹ, κωμῳδίας ιδʹ, καὶ ἕτερα πλεῖστα καὶ λόγου ἄξια. ὅτι εἰς τὸν τοῦ Πυθαγόρου βίον ἔγραψε Φιλόστρατος ὁ Λήμνιος τὸν Πυθαγόρα πρέποντα βιόν.

φ 423 Φιλόστρατος, Νερβιανοῦ, ἀδελφόπαιδος Φιλοστράτου τοῦ δευτέρου, Λήμνιος, καὶ αὐτὸς σοφιστής· καὶ παιδεύσας ἐν Ἀθήναις, τελευτήσας δὲ καὶ ταφεὶς ἐν Λήμνῳ, ἀκουστής τε καὶ γαμβρὸς γεγονὼς τοῦ δευτέρου Φιλοστράτου. ἔγραψεν Εἰκόνας, Παναθηναϊκόν, Τρωϊκόν, Παράφρασιν τῆς Ὁμήρου Ἀσπίδος, μελέτας εʹ, τινὲς δὲ καὶ τοὺς τῶν σοφιστῶν βίους ἐπ’ αὐτὸν ἀναφέρουσι.

φ 424 Φιλοτέχνημα: κατασκευή, καύχησις.

φ 425 Φιλότης.

φ 426 Φιλοτησία: φιλία, δεξίωσις. Αἰλιανός· δοκεῖ τῷ δήμῳ διαμετρεῖν φιλοτησίαν τήνδε.

φ 427 Φιλοτησία: ἡ φιάλη ἡ διδομένη ἐν τοῖς συμποσίοις. ἐν γὰρ τῷ πότῳ φιλοφρονούμενοι ἀλλήλους ἐπεδίδοσαν οἴνου κύλικα. ἣν φιλοτησίαν ἐκάλουν· ὡς Ὑπερίδης φησί, καὶ Ἄλεξις. καὶ Ὅμηρος· δειδέχατ’ ἀλλήλους. καὶ αὖθις· ἐγχείτω τις τούτῳ φιλοτησίαν. καὶ Φιλοτησίας, τὰς δεξιώσεις διὰ τῆς φιλίας. καὶ Φιλοτησίαν προπίνειν ἐστίν, ἡνίκα τις ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος, τὸ λοιπὸν παράσχῃ φίλῳ, καὶ τὴν φιάλην χαρισάμενος.

φ 428 Φιλοτησίας: τῆς φιλικῆς δεξιώσεως. οἱ Αἰτωλοὶ ἐς Ἀθήνας τὸν οἶνον ἐκόμιζον, φιλοτησίας τῆς ἐκ τοῦ θεοῦ κοινωνῆσαι καὶ τοῖς τῆς Ἀθηνᾶς τροφίμοις βουλόμενοι.

φ 429 Φιλότητα: φιλίαν.

φ 430 Φιλοτιμεῖται: ἐπιδαψιλεύεται, μεγαλοφρονεῖ, σπουδάζει, ἀγαπᾷ.

φ 431 Φιλοτιμία: καλλιλεξία. Ἀριστοφάνης· φιλοτιμίᾳ μὲν οὐδεμιᾷ, μὰ τὼ θεώ, λέξους' ἀνέστην, ὦ γυναῖκες.

φ 432 Φιλοτιμίας: δωρεᾶς, ἢ πλεονεξίας, ἢ κενοδοξίας. καὶ Φιλοτιμούμενος, τουτέστι κενοδοξῶν.

φ 433 Φιλοτιμότεραι Κλεοφῶντος, ἐφ' οὗ δὴ χείλεσιν ἐπιβρέμεται Θρηϊκία χελιδών: ἀντὶ τοῦ ἀπαιδευσία. σκώπτει δὲ αὐτὸν ὡς Θρᾷκα, υἱὸν Θρᾴσσης· ὃς ἐκαλεῖτο τυροποιός· ἐκωμῳδεῖτο δὲ εἰς δυσγένειαν. ἀντεποιεῖτο δὲ τῶν πρωτείων τῆς πόλεως, στρατηγὸς Ἀθηναίων. εἰς ὃν δημαγωγὸν λόγον δρᾶμα φέρεται Πλάτωνος καὶ ἐπιγράφεται ὁμωνύμως Κλεοφῶν. διαβάλλεται δὲ ὡς ξένος καὶ ἀμαθὴς καὶ φλύαρος.

φ 434 Φιλοτιμοῦμαι· δοτικῇ.

φ 435 Φιλοτίμως: μεγαλοδώρως, ὑπερμέτρως, ἐπιμελῶς. ὁ δὲ Θεολόγος ὅτε λέγει, τὸ φιλότιμον καταλύσασι, τινές φασι τὴν φιλοσοφίαν καὶ τὴν ῥητορικήν· μὴ ὅτι γε ἡμῖν τοῖς ἀφήσασι ταῦτα, καὶ ἑξῆς.

φ 436 Φιλοῦργος· οὗτος ἄσωτος ὢν ἐφωράθη ἐν Ἀθήναις τὰ ἱερὰ συλήσας καὶ τὸ Γοργόνειον ὑφελόμενος, ὡς Ἰσοκράτης λέγει. μέμνηται τούτου Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

φ 437 Φιλοφρονέστατα: φιλικώτερα. Φιλοφρονούμενα, παραμυθούμενα.

φ 438 Φιλοφρόνως: προθύμως, σπουδαίως.

φ 439 Φιλοφρονῶ· αἰτιατικῇ.

φ 440 Φιλοφροσύνη: δεξίωσις· ἢ προσήνεια.

φ 441 Φιλόχορος, Κύκνου, Ἀθηναῖος, μάντις καὶ ἱεροσκόπος· γυνὴ δὲ ἦν αὐτῷ Ἀρχεστράτη. κατὰ δὲ τοὺς χρόνους γέγονεν ὁ Φιλόχορος Ἐρατοσθένους, ὡς ἐπιβαλεῖν πρεσβύτῃ νέον ὄντα Ἐρατοσθένει. ἐτελεύτησε δὲ ἐνεδρευθεὶς ὑπὸ Ἀντιγόνου, ὅτι διεβλήθη προσκεκλικέναι τῇ Πτολεμαίου βασιλείᾳ. ἔγραψεν Ἀτθίδος βιβλία ιζ'· περιέχει δὲ τὰς Ἀθηναίων πράξεις καὶ βασιλεῖς καὶ ἄρχοντας, ἕως Ἀντιόχου τοῦ τελευταίου τοῦ προσαγορευθέντος θεοῦ· ἔστι δὲ πρὸς Δήμωνα· Περὶ μαντικῆς δ', Περὶ θυσιῶν α', Περὶ τῆς Τετραπόλεως, Σαλαμῖνος κτίσιν, Ἐπιγράμματα Ἀττικά, Περὶ τῶν Ἀθήνησιν ἀγώνων, βιβλία ιζ', Περὶ τῶν Ἀθήνησιν ἀρξάντων ἀπὸ Σωκρατίδου καὶ μέχρι Ἀπολλόδωρον, Ὀλυμπιάδας ἐν βιβλίοις β', Πρὸς τὴν Δήμωνος Ἀτθίδα, Ἐπιτομὴν τῆς ἰδίας Ἀτθίδος, Ἐπιτομὴν τῆς Διονυσίου πραγματείας περὶ ἱερῶν, Περὶ τῶν Σοφοκλέους μύθων βιβλία ε', Περὶ Εὐριπίδου, Περὶ Ἀλκμᾶνος, Περὶ μυστηρίων τῶν Ἀθήνησι, Συναγωγὴν ἡρωΐδων ἤτοι Πυθαγορείων γυναικῶν, Δηλιακὰ βιβλία β', Περὶ εὑρημάτων, Περὶ καθαρμῶν, Περὶ συμβόλων.

φ 442 Φιλοχρηματία.

φ 443 Φιλοψυχήσαντα· Ἀντίοχον ἀγόμενον δέσμιον Ἀντωνίῳ, φιλοψυχήσαντα μέχρις ἐσχάτου διὰ ψυχρᾶς ἐλπίδος ἄξιος τῆς ἡγεμονίας πέλεκυς διαδέχεται.

φ 444 Φιλῳδὸν γένος: οἱ βάτραχοι, παρὰ τὸ φιλεῖν ᾄδειν.

φ 445 Φιλωθέντες: φίλοι γενόμενοι, ὥσπερ πολεμωθέντες, πολέμιοι γενόμενοι. Αἰλιανὸς Ποικίλῃ ἱστορίᾳ· ἐπ' ἐλευθερίᾳ τινὲς Ῥωμαίοις φιλωθέντες· εἶτα μέντοι τὴν πίστιν, ἥπερ οὖν δεσμός ἐστι φιλίας, οὐκ ἐτήρησαν.

φ 446 Φιλωθῆναι καὶ φίλος γενέσθαι. ἔλεγε τὸν νεανίαν ἐλθεῖν πρὸς αὐτὸν φιλωθῆναί οἱ. καὶ αὖθις· καὶ φιλωθεὶς ἐν τῷ τέως τῷ ἐπισκόπῳ τῇ ἐκκλησίᾳ ἐξέπεμψε.

φ 447 Φίλων, Βύβλιος, γραμματικός. οὗτος γέγονεν ἐπὶ τῶν χρόνων τῶν ἐγγὺς Νέρωνος καὶ παρέτεινεν εἰς μακρόν· ὕπατον γοῦν Σεβῆρον, τὸν Ἐρέννιον χρηματίσαντα, αὐτὸς εἶναί φησιν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅταν ἦγεν η′ καὶ ο′ ἔτος, ὀλυμπιάδι δὲ κ′ καὶ διακοσιοστῇ. γέγραπται δὲ αὐτῷ Περὶ κτήσεως καὶ ἐκλογῆς βιβλίων βιβλία ιβ′, Περὶ πόλεων καὶ οὓς ἑκάστη αὐτῶν ἐνδόξους ἤνεγκε βιβλία λ′, Περὶ τῆς βασιλείας Ἀδριανοῦ, ἐφ’ οὗ καὶ ἦν ὁ Φίλων· καὶ ἄλλα. ὅτι ὕπατος γέγονεν ὁ Φίλων, Ἐρέννιος χρηματίσας, ὡς αὐτός φησι.

φ 448 Φίλων, Ἰουδαῖος, τεχθεὶς ἐν Ἀλεξανδρείᾳ, γένους ἱερέων, φιλοσοφήσας δὲ τὰ Ἑλλήνων εἰς μέγα προὔβη παιδείας, ὡς μετελθεῖν πᾶσαν Ἑλληνικὴν παίδευσιν τήν τε τῶν ἐγκυκλίων καλουμένων καὶ τὰς λοιπὰς ἐπιστήμας σὺν ἀκριβεῖ καταλήψει. ἐπλούτησέ τε λόγον, παρόμοιον Πλάτωνι, ὡς καὶ εἰς παροιμίαν παρ’ Ἕλλησι τοῦτο χωρῆσαι, ἢ Πλάτων φιλωνίζει, ἢ Φίλων πλατωνίζει· τοσαύτη ἐστὶν ὁμοιότης τῆς τε διανοίας καὶ φράσεως τοῦ ἀνδρὸς πρὸς τὴν Πλάτωνος. καὶ τοίνυν γέγραπται αὐτῷ βιβλία ἄπειρα, ἐξ ὧν καὶ ταῦτα· Περὶ συγχύσεως γλωσσῶν βιβλίον α′, Περὶ φύσεως καὶ εὑρήματος α′, Περὶ ὧν κατὰ νοῦν τις εὔχεται α′, Περὶ παιδεύσεως α′, Περὶ κληρονόμου τῶν θείων πραγμάτων α′, Περὶ μερισμοῦ ἴσων καὶ ἐναντίων α′, Περὶ τῶν τριῶν δυνάμεων, Περὶ ἐναλλαγεισῶν γραφῶν παρά τινων, Περὶ συνθηκῶν λόγοι β′, Περὶ βίου φιλοσόφου, Περὶ Γιγάντων α′, Περὶ ὀνείρων ε′, Περὶ ζητημάτων καὶ ἑρμηνευμάτων τῆς Ἐξόδου ε′, Περὶ τῆς σκηνῆς καὶ δεκαλόγου δ′, Περὶ θυσιῶν, Περὶ ὑποσχέσεων ἤτοι καταρῶν, Περὶ προνοίας, Περὶ Ἰουδαίων α′, Περὶ ἀγωγῆς βίου, Περὶ Ἀλεξάνδρου, καὶ Περὶ τοῦ ὅτι ἴδιον λογισμὸν ἔχει τὰ ἄλογα, Περὶ τοῦ πᾶς ἄφρων δοῦλός ἐστι, Περὶ τῆς διαγωγῆς τὼν Χριστιανῶν, Περὶ βίου θεωρητικοῦ, Περὶ ἱκετῶν, Περὶ γεωργίας λόγοι β′, Περὶ μέθης β′, Περὶ τοῦ Μωσέως βίου, εἰς τὰ Χερουβίμ, τουτέστι τὴν φλογίνην ῥομφαίαν, εἰς τὴν πεντάτευχον Μωϋσέως καὶ εἰς αὐτὸν τὸν Μωϋσῆν λόγοι ε′. λέγουσι τοῦτον ἐπὶ Γαίου Καλλιγόλα ἐν τῇ Ῥώμῃ κινδυνεῦσαι, ὁπηνίκα πρεσβευτὴς τοῦ οἰκείου ἔθνους ἀπεστάλη· καὶ ὅτε τὸ δεύτερον ἦλθε πρὸς Κλαύδιον, ἐν τῇ αὐτῇ πόλει διαλεχθῆναι τῷ ἁγίῳ ἀποστόλῳ Πέτρῳ καὶ τούτους ἐσχηκέναι φιλίαν καὶ διὰ τοῦτο τοὺς σπουδαστὰς Μάρκου, τοῦ μαθητοῦ Πέτρου, ἐν Ἀλεξανδρείᾳ ἔπεσι κεκοσμηκέναι. εἰσὶν οὖν, ὡς προείπομεν, περιφανῆ καὶ ἀναρίθμητα συντάγματα καὶ πᾶσαν ὠφέλειαν γέμοντα.

φ 449 Φίλων, Καρπάθιος. ἔγραψεν ὑπόμνημα εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων.

φ 450 Φιλωνίδης, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος· πρότερον δὲ ἦν γραφεύς. τῶν δραμάτων αὐτοῦ ἦν Κοθόρνοι, Ἀπήνη, Φιλέταιρος. καὶ ζήτει ἐν τῷ ἀπαίδευτοι.

φ 451 Φιλῶ σε καὶ κήδομαι: ἐὰν εὑρεθῶσι δύο ῥήματα καθ’ ἑνὸς μέρος λόγου συντασσόμενα, ὥσπερ ὧδε κατὰ ἀντωνυμίας, τῷ ἑνὶ τῷ πρώτῳ ὀφείλομεν συντάξαι τὴν ἀντωνυμίαν, τὸ δὲ ἄλλο ῥῆμα, οὐδὲν βλάπτει, κἂν ἀπολύτως ἐκφέρωνται· οἷον φιλῶ σε καὶ κήδομαι· τὸ φιλῶ συντάσσεται αἰτιατικῇ, τὸ δὲ κήδομαι οὐδενί, ἀλλ’ ἔστιν ἀπόλυτον. καὶ ὅσα ἄλλα· οἷον ἀγαπῶ καὶ φροντίζω σου.

φ 452 Φιλώτας.

φ 453 Φιλτάτιον· ὦ Εὐριπίδιον γλυκύτατον, φιλτάτιον.

φ 454 Φιλοίκτιστον: ὀδυρτικόν, θρηνητικόν. Σοφοκλῆς· κάρτα τοι φιλοίκτιστον γυνή.

φ 455 Φιλοίτης: ὄνομα κύριον. καὶ Φιλοίτιος.

φ 456 Φίλυδρα: φιλοῦντα τὸ ὕδωρ.

φ 457 Φιλύλλιος, Ἀθηναῖος, κωμικὸς τῆς παλαῖας κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἐστιν Αἰγεύς, Αὔγη, Ἄντεια (ἑταίρας ὄνομα), Δωδεκάτη Ἡρακλῆς, Πλύντρια ἢ Ναυσικάα, Πόλις, Φρεωρύχος, Ἀταλάντη, Ἑλένη.

φ 458 Φίλυρα: ὄνομα δένδρου.

φ 459

Φιλύρινος Κινησίας: οὗτος διθυραμβοποιὸς γέγονε. φιλύρινος δὲ ἀντὶ τοῦ χλωρός· ἡ γὰρ φιλύρα χλωρόν· ἢ κοῦφος, ὡς ἂν διθυραμβοποιὸς εὐτελῆ καὶ κοῦφα ποιῶν· καὶ γὰρ τὸ ξύλον τοῦτο κοῦφον καὶ ἐλαφρόν. ἦν δὲ καὶ χωλὸς καὶ κυλλός.

φ 460 Φιμινάλια: ἀναξυρίδας, βρακία.

φ 461 Φιμίος.

φ 462 Φιμῶ· αἰτιατικῇ.

φ 463 Φίμωτρον.

φ 464 Φιμοῖ: ἄγχει, ἐπιστομίζει. τὸ στόμα τῇ χειρὶ φιμώσασα τοῦ ἐσφαγμένου, μήτινα τῇ ψυχῇ συνεκπέμψειε φωνήν. ὁ ἐνεστὼς Φιμῶ.

φ 465 Φιμοί· Αἰσχίνης κατὰ Τιμάρχου· καὶ φιμοὺς καὶ κυβευτικὰ ἕτερα ὄργανα. φιμὸς δέ ἐστιν ὁ καλούμενος κημός, εἰς ὃν ἐνεβάλλοντο. Δίφιλος δέ φησιν· ἕλκ’ ἐς μέσον τὸν φιμόν, ὡς ἂν ἐμβάλῃ.

φ 466 Φινεές, ἀνὴρ τά τε ἄλλα κρείττων τῶν νεωτέρων, καὶ τῷ τοῦ πατρὸς ἀξιώματι τοὺς ἡλικιώτας ὑπερέχων. Ἐλεαζάρου γὰρ τοῦ ἀρχιερέως υἱὸς ἦν, Μωϋσέως δὲ ἀδελφοῦ παιδὸς υἱός· ὃς περιαλγήσας τοῖς πεπραγμένοις ὑπὸ Ζαμβρί, καὶ πρὶν ἰσχυροτέραν γενέσθαι τὴν ὕβριν ὑπὸ τῆς ἀδείας, ἔργῳ τὴν δίκην αὐτῶν εἰσπράξασθαι διαγνοὺς καὶ κωλύσαι διαβῆναι τὴν παρανομίαν εἰς πλείονας, τῶν ἀρξαμένων οὐ κολαζομένων, τόλμῃ δὲ καὶ ψυχῆς καὶ σώματος ἀνδρείᾳ τοσοῦτον προέχων ὡς μὴ πρότερον, εἴ τινι συσταίη τῶν δεινῶν, ἀπαλλάττεσθαι πρὶν ἢ καταγωνίσασθαι καὶ νίκην τὴν ἐπ’ αὐτῷ λαβεῖν, ἐπὶ τὴν τοῦ Ζαμβρὶ σκηνὴν παραγενόμενος αὐτόν τε παίων τῇ ῥομφαίᾳ καὶ τὸν Χοσβίαν ἀπέκτεινεν. οἱ δὲ νέοι πάντες, οἷς ἀρετῆς ἀντιποίησις ἦν καὶ τοῦ φιλοκαλεῖν, μιμηταὶ γενόμενοι τῆς Φινεὲς τόλμης, ἀνῄρουν τοὺς ἐπὶ τοῖς ὁμοίοις Ζαμβρὶ τὴν αἰτίαν εἰληφότας. ἀπόλλυνται μὲν οὖν καὶ ὑπὸ τῆς τούτων ἀνδραγαθίας πολλοὶ τῶν παρανομησάντων, ἐφθάρησαν δὲ πάντες καὶ λοιμῷ, ταύτην ἐνσκήψαντος αὐτοῖς τοῦ θεοῦ τὴν νόσον. ὅσοι τε συγγενεῖς ὄντες κωλύειν ἐξώτρυνον αὐτοὺς ἐπὶ ταῦτα, ἀδικεῖν τῷ θεῷ δοκοῦντες ἀπέθνησκον. ἀπόλλυνται μὲν οὖν ἐκ τῶν τάξεων ἄνδρες οὐκ ἐλάττους ͵δʹ καὶ χʹ. ὑπὸ δὲ ταύτης παροξυνθεὶς τῆς αἰτίας Μωϋσῆς ἐπὶ τὸν Μαδιηνιτῶν ὄλεθρον τὴν στρατιὰν ἐξέπεμπε.

φ 467 Φινεύς: ὄνομα κύριον. καὶ Φινείδης, ὁ ἀπὸ τοῦ Φινέως.

φ 468 Φίνειον: ὄνομα τόπου ἢ ὄρους.

φ 469 Φινίδας: ὄνομα κύριον.

φ 470 Φιρμιλιανός· ζήτει. ἐν τῷ περιπάτῳ ἔφιπποι στῆλαι ἵσταντο Γρατιανοῦ καὶ Οὐαλεντινιανοῦ καὶ Θεοδοσίου καὶ κυρτοῦ Φιρμιλιανοῦ πρὸς γέλωτα.

φ 471 Φίσκος: δημόσιον ταμιεῖον.

φ 472 Φιτρῶν: κορμῶν, ξύλων.

φ 473 Φίτυ· Ἀριστοφάνης· τὸ γὰρ φίτυ πρῷον φύσει.

φ 474 Φιτῦσαι: γεννῆσαι. ἐπὶ τοῦ πατρὸς τίθησιν, ἐπὶ δὲ μητρὸς οὐκέτι, ἀλλὰ γεννῆσαι. καὶ φιτύοντος ὁμοίως τοῦ γεννῶντος. λέγεται δὲ καὶ τὸ γέννημα φίτυμα. Εὔπολις Αὐτολύκῳ· ἀτὰρ ἤγαγες καινὸν φίτυμα τῶν βοῶν.

φ 475 Φθάνει· αἰτιατικῇ. προλαμβάνει.

φ 476 Φθάνοντος ἔργον γίνεται.

φ 477 Φθάς: ὁ Ἥφαιστος παρὰ Μεμφίταις. καὶ παροιμία· ὁ Φθάς σοι λελάληκεν. οἱ δὲ ἀφθάς φασιν, ὡς σταφίς, ἀσταφίς, καὶ στάχυς, ἄσταχυς.

φ 478 Φθάσειε: προλάβοι. οἶσθά τινας ἐν λογιστηρίοις ἀποδύντας ἢ πάντως ἀπὸ μιᾶς γέ του συμφορᾶς ἀναπεισθέντας ἐν μεσημβρίᾳ τοῦ βίου φιλοσοφεῖν, ἀπὸ μόνου τοῦ τὸν θεὸν ἀπομόσαι καὶ κατομόσαι Πλατωνικῶς· οὓς φθάσειεν ἂν ἡ σκιὰ φθέγξασθαί τι τῶν δεόντων. οἱ δὲ παλαιοὶ πρὸ τοῦ εὑρεθῆναι τοὺς Δημητριακοὺς καρποὺς ἐβαλανοφάγουν. ἔνθεν καὶ τὸ φαγεῖν εἴρηται.

φ 479 Φθασάμενον. καὶ ἐπιφθασάμενον. λέγουσι τὴν αἶγα τὴν τοῦ Διὸς τροφὸν κατηστερίσθαι· καὶ φασὶ τὸν ἐπιφθασάμενον ἐπιτέλλουσαν αὐτὴν ἐπιτυγχάνειν ὅσα ἂν εὔξηται.

φ 480 Φθαίη σε: προλάβῃ σέ τις εἰς ἐκκλησίαν. καὶ Φθαίησι.

φ 481 Φθέγμα: ῥῆμα.

φ 482 Φθέγγομαι· αἰτιατικῇ.

φ 483 Φθείρ: ὁ τῆς πίτυος καρπός.

φ 484 Φθείρω· αἰτιατικῇ. ὅτι πᾶν τὸ φθειρόμενον κατὰ δύο τρόπους φθείρεται, ἢ τὸν τῶν σωμάτων τῇ εἰς τὰ στοιχεῖα ἀναλύσει ἢ τὸν τῶν ἀσωμάτων ἀποσβεννυμένου τοῦ εἴδους τῇ ἀναρμοστίᾳ τοῦ ὑποκειμένου.

φ 485 Φθεῖσθαι: διαφθείρεσθαι.

φ 486 Φθήμενος. προλαβών, καταλαβών.

φ 487 Φθῆναι: προλαβεῖν. Ἰώσηπος· δυσφοροῦντος δὲ τοῦ βασιλέως ἐπὶ τῷ φθῆναι τὸν μισθὸν ἐκδεδωκέναι τοῖς Ἰσραηλίταις, παρῄνει ποιεῖν ὁ προφήτης ὅ τι τῷ θεῷ δοκεῖ.

φ 488 Φθήσεται: καταλήψεται.

φ 489 Φθία: πόλις, πατρὶς Ἀχιλλέως. καὶ Φθιάδος, Θετταλικῆς.

φ 490 Φθιμένης νυκτός: τούτεστι παρελθούσης. ὡς καὶ τῆς νῦν φθιμένης νυκτός. καὶ Φθίμενος, φθαρείς.

φ 491 Φθινάς: ἡ νόσος.

φ 492 Φθίναι: φθαρῆναι.

φ 493 Φθίνει: φθείρεται, λήγει. καὶ Φθινόμενοι.

φ 494 Φθινόπωρον: παλινδρομία τοῦ ἡλίου ἀφ’ ἡμῶν γενομένου τῶν καρπῶν πρὸς τοὺς τόπους, ἀφ’ ὧν ἐγένοντο. τῆς δὲ γενέσεως αὐτῶν αἴτιον γενέσθαι τὸν ἥλιον, ἐξατμίζοντα τὰ νέφη. καὶ φθινοπωρίδα εἰν ἁλὶ νήχεσθαι. φθινοπωρίδα τὴν κολυμβάδα λέγει.

φ 495 Φθινύθων: φθειρόμενος.

φ 496 Φθῖος: ὄνομα κύριον. καὶ Φθιώτης, ὁ ἀπὸ τῆς Φθίας πόλεως. θηλυκῶς δὲ Φθιῶτις γυνή, διὰ τοῦ ι.

φ 497 Φθιρώ: ὄρος Μαιάνδρου.

φ 498 Φθισήμβροτος: διαφθείρουσα τὸν ἄνδρα.

φ 499 Φθισήνορος: τοῦ φθείροντος τοὺς ἄνδρας.

φ 500 Φθίσθαι: φθαρῆναι.

φ 501 Φθίσις: νόσος.

φ 502 Φθίσονται: διαφθαρήσονται.

φ 503 Φθιτὸν γένος.

φ 504 Φθογγαῖς: βουλαῖς.

φ 505

Φθόη: φθίσις. ἢ ὄνομα πάθους ἐξ αἵματος ἀναγωγῆς. Πισίδης· τὴν ἱππικὴν ὑπεῖχεν ὁ στρατὸς φθόην. καὶ Αἰλιανός· φθόη γοῦν Θεόπομπον τὸν Ἀθηναῖον ῥινώμενόν τε καὶ λειβόμενον ἰάσατο ὁ Ἀσκληπιός.

φ 506 Φθόις· τὸ πληθυντικὸν φθοῖς.

φ 507 Φθοΐς, φθοΐδος. ὄνομα πλακοῦντος. πέμματα ἃ τοῖς θεοῖς μετὰ τῶν σπλάγχνων ἔθυον. ἐν Ἐπιγράμμασι· καὶ τροχιὰν ἐν κανέῳ φθοΐδα σοι ταύτας ἐφ’ ἅλωος, ὦ Δάματερ, φέρω. τοὺς φθοῖς μονοσυλλάβως ἔθος λέγειν τοῖς Ἀττικοῖς. τοὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας. Ἀριστοφάνης Πλούτῳ.

φ 508 Φθόνος: ἡ ἐπὶ τοῖς καλοῖς τοῦ πλησίον βασκανία παρὰ τῷ Ἀποστόλῳ.

φ 509 Φθόνος: πάθος λύπης ἐπὶ τῇ τῶν πέλας εὐπραγίᾳ. τῶν ἐπιεικῶν τινος. ἐκ τούτου δῆλον, ὡς καὶ φθονερὸς ἂν εἴη ὁ λυπούμενος ἐπὶ ταῖς τῶν ἐπιεικῶν εὐπραγίαις. οὗ κειμένου, ἐπεὶ προδήλως ἀλλότριον τοῦ σπουδαίου τὸ λυπεῖσθαι ἐπὶ ταῖς τῶν ἀγαθῶν εὐπραγίαις (οἱ γὰρ ἐπιεικεῖς ἀγαθοί), οὐκ ἂν εἴη ὁ ἐπιεικὴς φθονερός.

φ 510 Φθόνος, νόσημα ψυχῆς ἀνθρωπικὸν καὶ ἐσθίον ψυχήν, ἣν ἂν καταλάβῃ, ὥσπερ ἰὸς τὸν σίδηρον. καὶ ὁ ἔρως ταὐτόν ἐστιν. οἷς ἐκεῖνος ἔχθιστον καλῶς τὸ θεῖον, περιτρέπων τὸ συμφυὲς ἀρρώστημα εἰς αὐτοὺς τοὺς ἐκφύσαντας αὐτά. καὶ ἴαμβοι· τὸ δευτερεῦον τοῦ φθόνου γράμμα ξέσας εὕροις ἐν αὐτῷ τὸν φόνον γεγραμμένον. καὶ Σοφοκλῆς· ὁ φθόνος ἕρπει πρὸς τὸν εὖ ἔχοντα. καὶ αὖθις· πιστὰ τοῖς ἀκούουσι τὰ κατὰ τῶν μεγάλων διὰ τὸν φθόνον. καὶ Πίνδαρος· ὄψον δὲ λόγοι φθονεροῖς. καὶ αὖθις· σφόδρα δὲ λαμπρὸς ὢν παρὰ τοῖς Ἀθηναίοις ὅμως ἐσκοτίσθη καὶ αὐτὸς ὑπὸ τοῦ τὰ πάντα διεσθίοντος φθόνου· δίκην γὰρ θανάτου ὦφλε.

φ 511 Φθονῶ σοι· δοτικῇ. φθονῶ σοι τοῦδε.

φ 512 Στίχοι Δημητρίου εἰς φθονερούς· ζῳὸν ἀτιμάσαντες ἀποφθίμενον ποθέουσι. καὶ πόθ’ ὑπὲρ τύμβοιο καὶ ἀπνόου εἰδώλοιο ἄστεα νεῖκος ἐπῆλθεν, ἔριν δ’ ἐστήσατο λαός.

φ 513 Φθόρος: ἀρσενικῶς. οὕτως ἦν αὐτῷ κατεσπουδασμένος ὁ τῶν ἀνθρώπων ἀεὶ φθόρος. καὶ αὖθις· πολὺς δὲ φθόρος ἐγίνετο τῶν σωμάτων. εἰ γάρ τι δεῖ νοεῖν τὸν φθόρον, τότ’ ἂν ἰδών τις τὸ συμβαῖνον ἔγνω σαφῶς.

φ 514 Φλάβιος: ὄνομα χρηματισμοῦ.

φ 515 Φλάϊς: ὄνομα κύριον.

φ 516 Φλάκκος: ὄνομα κύριον. ἀλλ’ ἐπεχείρησαν καὶ οἱ Καμπανοὶ τοῦ Φλάκκου καὶ οἱ Συρακούσιοι τοῦ Μαρκέλλου κατηγορῆσαι.

φ 517 Φλαμίνιος: ὄνομα κύριον. ὁ Φλαμίνιος ὀχλοκόπος καὶ δημαγωγὸς τέλειος, πρὸς ἀληθινῶν δὲ καὶ πολεμικῶν πραγμάτων χειρισμὸν οὐκ εὐφυής. καὶ Φλαμινίους.

φ 518 Φλᾶν: θλᾶν, τύπτειν. φλᾶν τὴν ἑαυτοῦ δυσμενεστάτην κάραν. Ἀριστοφάνης· ὡς χαλεπόν εἰσιν οἱ φίλοι, οἱ φαινόμενοι παραχρῆμ’ ὅτ’ ἂν πράττῃ τις εὖ· νύττουσι γὰρ καὶ φλῶσι τἀντικνήμια, ἐνδεικνύμενος ἕκαστος εὔνοιάν τινα. καί, οὐκ ἐς κόρακας ἐρρήσετε;

φ 519 Φλαῦρον: φαῦλον ἢ κοῦφον κακόν. διαφέρει γὰρ φλαῦρον καὶ φαῦλον· φλαῦρον μὲν γάρ ἐστι τὸ μικρὸν κακόν, φαῦλον δὲ τὸ μέγα. Φλαῦρον, φλύαρον, ἀηδές, δύσφημον, λυπηρόν. παρὰ Ἀριστοφάνει. γέροντα δ’ ὀρθοῦν φλαῦρον, ὃς νέος πέσῃ. τουτέστι τὸν ἅπαξ ἐν νεότητι πεσόντα ἐν γήρᾳ ὀρθοῦσθαι ἀδύνατον. εὐστόμει, καὶ μηδὲν εἴπῃς φλαῦρον ἄνδρας δεξιοὺς καὶ νοῦν ἔχοντας, ὧν ὑπὸ τῆς φειδωλίας ἀπεκείρατ’ οὐδεὶς πώποτ’, οὐδ’ ἠλείψατο, οὐδ’ εἰς βαλανεῖον ἦλθε λουσόμενος.

φ 520 Φλαυρότατον· ποιήσαντες δὲ ταῦτα ὑπολείπεσθαι τῆς στρατιᾶς τὸ φλαυρότατον. παρὰ Ἡροδότῳ. τουτέστι τὸ κακόν. καὶ αὖθις· τὴν ἀλώπεχ’ ὡς φλαύρως ἐκοινώνησεν αἰετῷ ποτε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ Φλαυρουργός, ὁ μικρὰ κακὰ ἐργασάμενος. Σοφοκλῆς· φλαυρουργοῦ τινος περιτεχνήματ' ἀνδρός.

φ 521 Φλεβάζοντες: βρύοντες.

φ 522 Φλεβοτομεῖν· ζήτει ἐν τῷ γενεά.

φ 523 Φλέγμα: οὐ λέγεται πρῶτον ἀπὸ τροφῆς· πρῶτον γὰρ ἀπὸ τροφῆς τὸ αἷμα· τὸ δὲ φλέγμα πρῶτον τῶν ἀπέπτων. ἔστι γὰρ καὶ ἄλλα ἄπεπτα· ἀπὸ γὰρ φλέγματος μεταβάλλεται ὀξὺς χυμὸς περὶ τὸν στόμαχον· ἔστιν οὖν οὐχ ἁπλῶς πρῶτον, ἀλλὰ τῶν ἀπέπτων.

φ 524 Φλεγμαίνουσαν πόλιν: ἡ μεταφορὰ ἀπὸ τῶν ἑλκῶν τῶν διὰ φλεγμονὴν κινδυνευόντων ἐκρήσσειν.

φ 525 Φλέγει: ἀντὶ τοῦ ζωπυρεῖ. Σοφοκλῆς· πάνθ' ὁ μέγας χρόνος μαραίνει τε καὶ φλέγει.

φ 526 Φλέγων: ζωπυρῶν, ἀνεγείρων. ἄταν οὐρανίαν φλέγων.

φ 527 Φλέγων, Τραλλιανός, ἀπελεύθερος τοῦ Σεβαστοῦ καίσαρος, οἱ δὲ Ἀδριανοῦ φασιν· ἱστορικός. ἔγραψεν Ὀλυμπιάδας ἐν βιβλίοις ις΄· ἔστι δὲ μέχρι τῆς σκθ΄ ὀλυμπιάδος τὰ πραχθέντα πανταχοῦ· τὰ δὲ αὐτὰ ἐν βιβλίοις η΄· Ἔκφρασιν Σικελίας, Περὶ μακροβίων καὶ θαυμασίων, Περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν βιβλία γ΄, Περὶ τῶν ἐν Ῥώμῃ τόπων καὶ ὧν ἐπικέκληνται ὀνομάτων, Ἐπιτομὴν ὀλυμπιονικῶν ἐν βιβλίοις β΄, καὶ ἄλλα. τούτου τοῦ Φλέγοντος, ὥς φησι Φιλοστόργιος, ὅσον τὰ κατὰ τοὺς Ἰουδαίους συμπεσόντα διὰ πλείονος ἐπεξελθεῖν τοῦ πλάτους, Φλέγοντος καὶ Δίωνος βραχέως ἐπιμνησθέντων καὶ παρενθήκην αὐτὰ τοῦ οἰκείου λόγου ποιησαμένων. ἐπεὶ τῶν γε εἰς εὐσέβειαν καὶ τὴν ἄλλην ἀρετὴν ἑλκόντων οὐδ' ὁτιοῦν οὐδ' οὗτος δείκνυται πεφροντικώς, ὅνπερ οὐδ' ἐκεῖνοι τρόπον. τοὐναντίον μὲν οὖν ὁ Ἰώσηπος καὶ δεδοικότι ἔοικε καὶ εὐλαβουμένῳ ὡς μὴ προσκρούσειεν Ἕλλησι.

φ 528 Φλεγραίας πεδίον: Θρᾳκικόν. Ἀριστοφάνης· ἵνα περ τοὺς γηγενεῖς ἀλαζονευομένους καθυπερηκόντισαν.

φ 529 Φλεγύας: ὁ ἀετός.

φ 530 Φλεγυρά: λαμπρά, φλέγουσα, λάμπουσα· ἢ θερμή, διὰ τοὺς ἄνθρακας. Ἀριστοφάνης· δεῦρο Μοῦσ' ἐλθὲ φλεγυρὰ πυρὸς ἔχουσα μένος.

φ 531 Φλεδόνεια: πόλις. καὶ Φλεδόνος.

φ 532 Φλέδων. τὸν Ἀντισθένην τὸν φιλόσοφον ἐπιτιμῶν ὁ Τίμων διὰ τὸ πλῆθος παντοφυῆ φλεδόνα καλεῖ.

φ 533 Φλέω: φλέως λοχμῶδες φυτόν· οὗ μνημονεύει καὶ Θεόφραστος, παραδηλῶν, ὅτι ποτάμιός ἐστι βοτάνη ὡς τὸ βούτομον. καὶ ἐν Ἀμφιαράῳ· πόθεν ἂν λάβοιμι βύσμα τῷ πρωκτῷ φλέων; Ἀριστοφάνης Βατράχοις· ἡλάμεθα διὰ κυπείρου καὶ φλέω, χαίροντες ᾠδῆς πολυκολύμβοισι μέλεσι.

φ 534 Φληναφᾷ: φλυαρεῖ.

φ 535 Φλήναφος: μωρολόγος. καὶ Φληναφία, θηλυκόν.

φ 536 Φλιά: ὁ παραστάτης τῆς θύρας.

φ 537 Φλίει: μιμητικῶς φωνεῖ.

φ 538 Φλόγεα: λαμπρά. φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον. περὶ τοῦ Ὀρέστου σώματος. καὶ Φλόγειος.

φ 539 Φλογμός: καῦμα, ἐκπυράκτωσις.

φ 540 Φλόνος.

φ 541

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φλόρος: τὸ ὄρνεον, διὰ τοῦ ο μικροῦ· Φλῶρος δὲ ὄνομα κύριον. διὰ τοῦ ω μεγάλου.

φ 542 Φλωβός: βοτάνη.

φ 543 Φλωράστιον.

φ 544 Φλωρέντεια: πόλις· Φλωρέντιος δὲ ὄνομα κύριον.

φ 545 Φλοιός: τὸ λέπος τοῦ δένδρου. εἶχε δὲ ὁ Κράντωρ ἀπελέκητον φωνὴν καὶ φλοιοῦ μεστὴν τραγῳδῶν.

φ 546 Φλοίσβου: ταράχου. Φλοῖσβος, ἀπὸ τοῦ φλέω, τὸ ἀναβράζω, φλόβος, φλοῖβος, καὶ φλοῖσβος.

φ 547 Φλύακες· Σωτάδης ἔγραψε Φλύακας ἤτοι κιναίδους, διαλέκτῳ Ἰωνικῇ· καὶ γὰρ Ἰωνικοὶ λόγοι ἐκαλοῦντο οὗτοι. ἐχρήσατο δὲ τῷ εἴδει τούτῳ καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ ἕτεροι.

φ 548 Φλύαρος: φλήναφος καὶ λῆρος καὶ μάταιος λόγος. Ἀριστοφάνης Νεφέλαις· τὰ δ' ἄλλα πάντ' ἐστὶ φλύαρος. καὶ αὖθις· μὴ γὰρ οὔσης ἀνάγκης, τί δεῖν φλυαρεῖν ὁτιοῦν πρὸς ὁντιναοῦν.

φ 549 Φλυδούμενος· προφήτης ἐγκάτοισι φλυδούμενος. ἀντὶ τοῦ ταρασσόμενος, καταπονούμενος. καὶ Λυκόφρων.

φ 550 Φλυεία: δῆμος τῆς Κεκροπίδος. ἐκ τούτου δὲ τοῦ δήμου ἦν Εὐριπίδης, ὁ τῆς τραγῳδίας ποιητής.

φ 551 Φλύειν: τὸ ἀναζεῖν.

φ 552 Φλύκταινα: τὰ τῶν χειρῶν ἐπαναστήματα, τὰ γινόμενα ἀπὸ τοῦ κωπηλατεῖν. Ἀριστοφάνης Βατράχοις· ἐγὼ δὲ φλυκταίνας γ' ἔχω.

φ 553 Φλυκτίδες: τὸ ἀπὸ πυρὸς φύσημα· ἢ ὁ καλούμενος ἄνθραξ.

φ 554 Φόβας: τὰς τρίχας. τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας.

φ 555 Φοβερά: ἡ περίφοβος. ἐκτέταμαι φοβερὰν φρένα, δείματι πάλλων. ἀντὶ τοῦ ἐκπέπληγμαι.

φ 556 Φοβερός: ὁ φοβούμενος, παρὰ Θουκυδίδῃ καὶ Φερεκράτει. καὶ παρὰ Ἀρριανῷ· οἱ δὲ φοβεροὶ γινόμενοι ἔφευγον, ἀπολιπόντες τὰς πόλεις. καὶ αὖθις Ἀρριανός· οἱ δὲ ἐμβεβληκότων τῶν πολεμίων φοβεροὶ καὶ ἀμήχανοι ἄνευ τοῦ ἐς τὸ κοινὸν ὠφελίμου ἀπώλλυντο. Φοβερὸς καὶ ὁ καταπληκτικός. Ἀννίβας δὲ λαμπρὸς ἤδη καὶ φοβερὸς ὢν ἤλαυνεν ἐπὶ τὴν Τυρρηνίαν.

φ 557 Φοβεσιστράτη: ἡ φοβοῦσα τὸν στρατόν.

φ 558 Φόβη: κόμη, θρίξ. ὅς τε φόβῃσι ξανθοτάταις ἐκόμα.

φ 559 Φόβος: φυγή. καὶ ἡ δειλία. Φόβος δέ ἐστι προσδοκία κακοῦ. εἰς δὲ τὸν φόβον ἀνάγεται ταῦτα· δεῖμα, ὄκνος, αἰσχύνη, ἔκπληξις, θόρυβος, ἀγωνία. δεῖμα μὲν οὖν ἐστι φόβος δέος ἐμποιῶν, ὄκνος δὲ φόβος μελλούσης ἐνεργείας, αἰσχύνη δὲ φόβος ἀδοξίας, ἔκπληξις δὲ φόβος ἐκ φαντασίας ἀσυνήθους πράγματος, θόρυβος δὲ φόβος μετὰ κατεπείξεως φωνῆς· ἀγωνία δὲ φόβος ἀδήλου πράγματος. ἔστι δὲ γένος ἡ θαυμασιότης τῆς ἐκπλήξεως, ἀλλ' οὐχ ὑπερβολή· γένος γὰρ ἐκπλήξεως ἡ θαυμασιότης, ἡ δὲ ὑπερβολὴ διαφορά· τῶν γὰρ θαυμαζόντων οἱ μὲν καθ' ὑπερβολὴν θαυμάζουσιν, ὡς οἱ ἐκπεπληγμένοι, οἱ δὲ μετρίως. τὸ δὲ θαυμάζειν καθ' ὑπερβολήν ἐστιν ἐκπλήττεσθαι. Φόβος, παρ' Ὁμήρῳ ἡ φυγή. ὅτε δὲ λέγει, ἀρχὴ σοφίας φόβος κυρίου· διότι ὁ βουλόμενος σοφὸς εἶναι ἀπὸ εὐλαβείας ἄρχεται. εἰ δὲ τὸ ἀρχὴ ἐπὶ τῆς ἡγεμονίας παραληφθῇ, φόβος κυρίου οὐχ ὁ παθητικός, ὁ δέει κολάσεων προσγινόμενος (ἡ γὰρ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον), ἀλλ' ἡ κατὰ σεβασμὸν εὐλάβεια· οὗτος γὰρ ὁ φόβος κυρίου πάντα ὑπερέβαλε.

φ 560 Φοβῶ καὶ Φοβοῦμαι· αἰτιατικῇ.

φ 561 Φολεύς: ὄνομα κύριον.

φ 562 Φολίδες: αἱ λεπίδες. καταχρηστικῶς δὲ τὰ μικρὰ πτερά· τούτοις γὰρ ἐοίκεσαν.

φ 563

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φολιδωτόν: λεπιδωτόν. καὶ Φολιδωτοὶ ἰχθύες, σαῦρος, καὶ σαλαμάνδρα, χελώνη, κροκόδειλος, καὶ τὸ τῶν ὄφεων πᾶν γένος. ταῦτα δὲ λέγεται κατά τινας καιροὺς τὸ γῆρας ἐκδύεσθαι· ὁ δὲ κροκόδειλος φωλεύει τὰς χειμερίνας ἡμέρας μʹ κατὰ γῆς κεκρυμμένος, τὸ δὲ γῆρας οὐκ ἐκδύεται, ὡς οὐδὲ ἡ χελώνη.

φ 564 Φολίς: τὸ τοῦ θώρακος. Φόλλις δέ, ἀρσενικόν, φόλλεως, ὁ ὀβολός. πληθυντικὸν τοὺς φόλλεις.

φ 565 Φολκός: στραβός.

φ 566 Φόλος: ὄνομα τόπου.

φ 567 Φολουΐα, Ἀντωνίου γυνή. αὕτη Κικέρωνος τοῦ ῥήτορος ἀποτεμοῦσα τὴν κεφαλὴν καὶ ἐπὶ τοῖς γόνασι λαβοῦσα πολλὰ μὲν ἐς αὐτὴν ἐξυβρίσαι καὶ ἐμπτύσαι· τέλος δὲ τὸ αὐτῆς διανοίξασα στόμα ἐκείνου τε τὴν γλῶτταν ἐξελκύσαι καὶ τῇ βελόνῃ τῇ κατὰ τὴν κεφαλὴν κατακεντῆσαι· πολλά τε καὶ μιαρὰ προσφθεγξαμένη ἐπὶ τὸ βῆμα τεθῆναι προσέταξεν, ἵν’, ὅθεν κατ’ αὐτῆς δημηγορῶν ἠκούετο, ἐκεῖθεν καὶ ὁρῷτο.

φ 568 Φονᾶν: ἑτοίμως πρὸς τὸ φονεύειν ἔχειν. ὁ δὲ πατὴρ πυνθάνεται ὅσα ἡ παῖς ἔδρασε, καὶ διώκει φονῶν καὶ ἀποκτεῖναι γλιχόμενος.

φ 569 Φονή: ὁ φόνος.

φ 570 Φονῇσι: τοῖς φόνοις.

φ 571 Φονία ὁρμή. καὶ Φόνιον αἷμα. καὶ Φόνιος, ὁ ὠμὸς ἀνήρ.

φ 572 Φόνος: ἡ μέχρις ἀναιρέσεως κίνησις παρὰ τῷ Ἀποστόλῳ.

φ 573 Φόνος ἔρρευσεν: αἷμα ἔρρευσεν.

φ 574 Φονῶντας. οἱ δὲ λεόντειον ἐβρυχῶντο, φονῶντες. φονεῦσαι προῃρημένοι.

φ 575 Φόνου πτερόν: τὸν διὰ τῶν ὀϊστῶν, πτερόεντα ἢ ταχύν. βέλτιον δὲ ἀκούειν περιφραστικῶς τὸν φόνον.

φ 576 Φοξῖνος: εἶδος ἰχθύος.

φ 577 Φοξός: ὀξυκέφαλος.

φ 578 Φόωντα: ψηλαφῶντα.

φ 579 Φόως· Ὅμηρος· ἤγαγε πρὸ φόωσδε. πρὸ τῆς τελειώσεως τοῦ ὡρισμένου καιροῦ. περὶ δὲ τῶν πυλῶν λέγει· αἱ δὲ πετασθεῖσαι τεῦξαν φάος. ὡς οὐ διὰ μέσης τῆς πύλης φωτίζεσθαι τὴν πόλιν, ἀλλὰ τὴν σωτηρίαν τῶν φευγόντων. ὡς τό, φόως δ’ ἑτάροισιν ἔθηκεν, ἄνδρα βαλών.

φ 580 Φορά: ἡ κατὰ ὅλου τόπου ἐναλλαγή· καὶ μάλιστα ἡ μὴ δυναμένη ἐφ’ ἑαυτῆς στῆναι ὅταν ἐθέλῃ. ὅτι ὁ τῆς κατὰ τόπον κινήσεως γένος λέγων τὴν φορὰν τὸ γένος ὑπὸ τῷ εἴδει τίθησι. ποιεῖ δὲ καὶ τοῦτο Πλάτων· ὁριζόμενος γὰρ τὴν κατὰ τόπον κίνησιν φορὰν αὐτὴν εἶπεν. ἀλλὰ φορὰ μέν ἐστι τῶν ἀψύχων τε καὶ ἀκουσίως ἀμειβομένων τόπον ἐκ τόπου. τὸ δὲ ἀκουσίως ἀντὶ τοῦ οὐχ ἑκουσίως. εἰ οὖν τινά ἐστιν οὐχ ἑκουσίως μεταβάλλοντα τόπον ἐκ τόπου, ὡς τὰ βαδίζοντα, εἴη ἂν ἐπὶ πλέον ἡ κατὰ τόπον κίνησις. οὐ πᾶσα δὲ κατὰ τόπον κίνησις φορά. καὶ αὖθις· δυσχέρεια μὲν πολλὴ τοῦδε τοῦ φορήματος· ὅμως δὲ τλῆθι. τοῖσι γενναίοισί τοι τό τ’ αἰσχρὸν ἐχθρὸν καὶ τὸ χρηστὸν εὐκλεές. σοὶ δ’ ἐκλιπόντι τοῦτ’ ὄνειδος οὐ καλόν, δράσαντι δ’, ὦ παῖ, πλεῖστον εὐκλείας γέρας, ἐὰν μόλω ’γὼ ζῶν πρὸς Οἰταίαν χθόνα. Φιλοκτήτης φησί.

φ 581 Φοράδην: ὁρμητικῶς φερόμενος. ὁ δὲ ἐκ πλείστου ἄμφω τὼ πόδε πεπηρωμένος πρὸς τοὺς πόνους φοράδην ἐφοίτα καὶ ταύτῃ τοὺς ἐναντίους κατέπληττε. καὶ Φοράδην, ὑφ’ ἑτέρων βασταζόμενος.

φ 582 Φοράς: ὁρμάς, ἢ τύχας. καὶ Φοράς, φοράδος, ἡ ἵππος, θηλυκόν.

φ 583

Φορβάδων: νομάδων, βοσκομένων. καὶ Φορβάς, ἡ πολλοῖς προσομιλοῦσα τροφῆς χάριν. παρὰ τὸ φέρβω.

φ 584 Φορβαντεῖον· Ὑπερίδης ἐν τῷ Πατροκλέους. ὅτι τὸ Ἀθήνησι Φορβαντεῖον ὠνομάσθη ἀπὸ Φόρβαντος βασιλεύσαντος Κουρητῶν καὶ ὑπ' Ἐρεχθέως ἀναιρεθέντος. ἦν δὲ Ποσειδῶνος υἱὸς ὁ Φόρβας.

φ 585 Φορβαία. καπίστριον.

φ 586 Φορβειάν: περιστόμιον, καπίστριον. παρὰ τὸ φέρειν βίᾳ. καὶ Φορβειά, ἡ τροφή. καὶ Φορβὴ ὁμοίως. Φορβειὰ δὲ διὰ διφθόγγου γράφεται καὶ ὀξύνεται.

φ 587 Φόρβιον: τὸ περικείμενον τῷ στόματι τοῦ αὐλητοῦ δέρμα, ἵνα μὴ σχισθῇ τὸ χεῖλος αὐτοῦ. Ἀριστοφάνης· πολλὰ δὴ καὶ δεῖν' ἰδὼν οὔπω κόρακ' εἶδον ἐμπεφορβιωμένον.

φ 588 Φορέουσι: φέρουσι.

φ 589 Φορεῖον. πλέγμα ποιήσαντες ἐκ λύγων, φορείων τύπῳ γυναικείων, δέρμασι βοείοις ἐπιπλάσαντες ἀκατεργάστοις.

φ 590 Φορεῖται: περιφέρεται.

φ 591 Φορῆες: οἱ φέροντες.

φ 592 Φορήσω τὸ ξίφος τολοιπὸν ἐν μύρτου κλαδί: ἀντὶ τοῦ κλάδῳ, κατὰ μεταπλασμόν· τουτέστιν ἐν μυρσίνῳ κλάδῳ τὸ ξίφος φορήσω, ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων· οὗτοι γὰρ ἀπὸ τῶν μυρσίνων κλάδων τὰ ξίφη ἀνασπάσαντες τὸν τύραννον κατέβαλον.

φ 593 Φορητή: βαστακτή. τοὺς δὲ περισυλῶν καὶ δημεύων φορητὸς οὐδαμὰ οὐδαμῇ ἦν.

φ 594 Φορητόν: καρτερικόν. ἥτις δεινὸν ἡγησαμένη καὶ φορητὸν ἥκιστα ξιφιδίῳ ἑαυτὴν διέφθειρε.

φ 595 Φορητῶς: μεγάλως.

φ 596 Φορίαια.

φ 597 Φορίνη· Ἀντιφῶν φησιν, ὅτι ἐπ' ἀνθρωπίνου δέρματος ἐλέγετο ἡ φορίνη.

φ 598 Φόρκης.

φ 599 Φόρκυν: ὄνομα. λιμὴν τοῦ Φόρκυνος.

φ 600 Φορμαρία: παρὰ Ῥωμαίοις ἀπόφασις θανάτου.

φ 601 Φορμηδόν: ψιαθηδόν. φορμὸς γὰρ ψίαθος παρὰ Θουκυδίδῃ, ἐναλλὰξ ἔχων τὸ πλέγμα.

φ 602 Φορμηδόν· Θουκυδίδης· ξύλα τέμνοντες ἐκ τοῦ Κιθαιρῶνος παρῳκοδόμουν ἑκατέρωθεν φορμηδόν. ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο ἐπιπολὺ τὸ χῶμα. καὶ αὖθις· καὶ τοὺς νεκροὺς οἱ Κερκυραῖοι φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβαλόντες ἀπήγαγον ἔξω τῆς πόλεως.

φ 603 Φόρμιγξ: κιθάρα. ἐν Ἐπιγράμμασι· ἁ φόρμιγξ τά τε τόξα καὶ ἀγκύλα δίκτυα Φοίβῳ.

φ 604 Φορμίων· περὶ τούτου καὶ Θεόπομπος ἐν Φιλιππικοῖς. ἦν δὲ Κροτωνιάτης καὶ ἐν τῇ ἐπὶ Σάγρᾳ μάχῃ ἐτρώθη. δυσιάτου δ' ὄντος τοῦ τραύματος, χρησμὸν ἔλαβεν εἰς Λακεδαίμονα ἐλθεῖν, τοῦτον γὰρ αὐτοῦ ἰατρὸν ἔσεσθαι, ὃς ἂν αὐτὸν πρῶτον καλέσειεν ἐπὶ δεῖπνον. ὡς οὖν ἧκεν εἰς τὴν Σπάρτην, καταβάντα αὐτὸν ἀπὸ τοῦ ὀχήματος ἐκάλεσεν ἐπὶ δεῖπνον νεανίσκος· δειπνήσαντος δὲ ἤρετο, ἐφ' ὅ τι ἥκει. ὡς δὲ ἤκουσε περὶ τοῦ χρησμοῦ, ἀποξύσας τοῦ δόρατος ἐπιτίθησιν. ὡς δὲ ἀνέλυσαν ἀπὸ τοῦ δείπνου, δοκῶν ἀναβαίνειν ἐπὶ τὸ ἅρμα, τῆς θύρας αὑτοῦ τοῦ οἴκου τοῦ ἐν Κρότωνι ἐπιλαμβάνεται. ἀλλὰ καὶ Θεοξένια αὐτοῦ ἄγοντος, ἐκάλεσαν αὐτὸν οἱ Διόσκουροι πρὸς Βάττον εἰς Κυρήνην· καὶ ἀνέστη τε ἔχων σιλφίου καυλόν. καὶ παροιμία· Φορμίωνος στιβάς· ἐπὶ τῶν εὐτελῶν· οὗτος γὰρ ὁ Φορμίων ἀγαθὸς ἐγένετο στρατηγός, καὶ ἐν τοῖς Ταξιάρχαις δὲ φαίνεται ὡς ἐπίπονος· φιλοπόλεμος γὰρ καὶ αὐστηρός. στιβάδες δέ, ἐπεὶ οἱ στρατιῶται χαμαικοιτῶσιν. ἀναγράφεται δὲ ὁ Φορμίων δυσὶ ναυμαχίαις νικήσας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λακεδαιμονίους. λιτὸς δὲ ἦν καὶ στρατιωτικός. οἱ δὲ τὰ πολεμικὰ ἐξησκημένοι ὑπὸ γυμνασίων καὶ πόνων εἰώθασι χαμαικοιτεῖν. καὶ Διονύσιος ἐν Ταξιάρχαις· ὡς οὐκ ἔτ' ἂν φάγοιμι, στιβάδας ἐξόσου φύγον.

φ 605 Φορμίσιος· ἀναβαλλομένη δείξει τὸν Φορμίσιον. καὶ οὗτος δασὺς ἦν. αἰνίττεται δὲ τὸ γυναικεῖον αἰδοῖον.

φ 606 Φορμίσιος καὶ Μεγαίνετος: ὁ Φορμίσιος αὐθάδης καὶ θρασὺς στρατηγιῶν. Ἀριστοφάνης· Φορμίσιος καὶ Μεγαίνετος ὁ Μάνης. ὀνόματα δούλων.

φ 607 Φορμίσκοι: καλαθίσκοι.

φ 608 Φορμός: προκάλυμμα· ἢ πλεκτὸν ἀγγεῖον ἐκ φλοιοῦ, ἐν ᾧ εἰώθεσαν ἰσχάδες κομίζεσθαι. καὶ Φορμοκοιτῶ, ἐν ψιαθίῳ κοιμῶμαι. Φορμὸς οὖν πλέγμα, ὡς κόφινος. φησὶν Ἡρόδοτος.

φ 609 Φόρμος, Συρακούσιος, κωμικός, σύγχρονος Ἐπιχάρμῳ, οἰκεῖος δὲ Γέλωνι τῷ τυράννῳ Σικελίας καὶ τροφεὺς τῶν παίδων αὐτοῦ. ἔγραψε δράματα ζʹ, ἅ ἐστι ταῦτα, Ἄδμητος, Ἀλκίνους, Ἀλκυόνες, Ἰλίου πόρθησις, Ἵππος, Κηφεὺς ἢ Κεφάλαια ἢ Περσεύς. ἐχρήσατο δὲ πρῶτος ἐνδύματι ποδήρει καὶ σκηνῇ δερμάτων φοινικῶν. μέμνηται δὲ καὶ ἑτέρου δράματος Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς, Ἀταλάντης.

φ 610 Φορμοφόρος ἦν Πρωταγόρας ὁ φιλόσοφος.

φ 611 Φορολόγος: ἀπαιτητὴς δημοσίων. Φόρος γὰρ ἡ εἰσφορὰ τῶν χρημάτων.

φ 612 Φορολόγος: ὁ τὰς εἰσφορὰς συλλέγων· οὓς πράκτορας ἔθος καλεῖν τοῖς πολλοῖς.

φ 613 Φόρος: ὑπὸ Ἀθηναίων ἡ τῶν χρημάτων φορά.

φ 614 Φόρος: ὁ τόπος, τὸ πωλητήριον. ὅτι κάτωθεν τοῦ φόρου κεχωσμένοι ὑπάρχουσι δύο σταυροὶ τῶν δύο ληστῶν καὶ βηκίον μύρου, ὃ ἠλείψατο ὁ Χριστός, καὶ πολλὰ ἕτερα σημειοφορικά, τεθέντα μὲν παρὰ Κωνσταντίνου τοῦ μεγάλου, ἀσφαλισθέντα δὲ ὑπὸ τοῦ μεγάλου Θεοδοσίου. Φορὸς δὲ ὀξυτόνως, ὁ ἐπιτήδειος ἄνεμος. τοῖς ἐναντίοις ὁρῶν φορὸν ἄνεμον καὶ λαμπρὸν καταπνέοντα, σφίσι δὲ δυσχερῆ, πρὸς ἀντίον ἄνεμον κοίλης καὶ τραχείας ὑπαρχούσης τῆς θαλάσσης, διηπόρει, τί δεῖ χρῆσθαι τοῖς παροῦσι.

φ 615 Φορῶ· αἰτιατικῇ.

φ 616 Φορωνεύς: ὄνομα. καὶ Φόρωνος, ὄνομα κύριον.

φ 617 Φορτία: τὰ ἀγώγιμα. καὶ τοίνυν ἅπαντα ὅσα ἐπεφέροντο φορτία ἀράμενοι, ἔθεσαν ἐν μέσῳ. εἶτα τοῖς τοῦ λιβάνου κλάδοις πῦρ ἀνάψαντες τῇ Σκυθικῇ φωνῇ βάρβαρα ἄττα ῥήματα ὑπεψιθύριζον.

φ 618 Φορτίς: ἡ ἀγώγιμος, ἡ πεφορτωμένη.

φ 619 Φορτικῶς: ἐπαχθῶς, ἐπιπλάστως.

φ 620 Φόρτος: ἡ χλεύη. Ἀριστοφάνης Πλούτῳ· ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν. τουτέστι τὴν χλεύην.

φ 621 Φορύνω: μολύνω.

φ 622 Φορύξαντες: πλύναντες.

φ 623 Φορυτός· Ἀριστοφάνης· δός μοι φορυτόν, ἵν' αὐτὸν ἐνδήσας φέρω. τουτέστι φρύγανον, σχοινίον, δέσμην χόρτου συρφετώδους. καὶ Φορυτῷ, φρυγανώδει ἀκαθαρσίᾳ, συρφετώδει, χορτώδει. σὺν δ' ἄμυδις φορυτόν τε καὶ ἴπνια λύματ' ἀείρας. διὰ τοῦ ο μικροῦ. ἢ ψιαθῶδες πλέγμα, ἐν ᾧ τοὺς στάχυας ἐμβάλλουσιν· ἢ ἡ ἐκ φρυγάνων στρωμνή. Ἀριστοφάνης· δός μοι φορυτόν, ἵν' αὐτὸν ἐνδήσας φέρω ὥσπερ κέραμον, ἵνα μὴ καταγῇ φορούμενος. οἱ γὰρ καλῶς δεσμούμενοι κέραμοι δυσχερῶς κλῶνται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φ 624 Φοσσάτον: τὸ στρατόπεδον.

φ 625 Φόσιρις: ὄνομα κύριον.

φ 626 Φουάλικλον: εἶδος παιδιᾶς.

φ 627 Φούριος Κάμιλλος, δικτάτωρ, ἐν πολέμοις ἀριστεύσας τῷ τοῖς ἀρίστοις παρομαρτοῦντι περιπίπτει φθόνῳ· αἰτίαν γὰρ δὴ πρός τινων ἐπὶ παρανόμῳ διανεμήσει τῆς λείας ἀναδεξάμενος φυγὰς ἐκπίπτει τῆς πόλεως, θεοὺς ἵστορας ὑπὲρ ὧν ἀδίκως ἐπεπόνθει ποιούμενος.

φ 628 Φοῦρκα: παρὰ Ῥωμαίοις δίδυμον ξύλον.

φ 629 Φοῦρνος: πνιγεύς, ὁ κρίβανος, ὅπου οἱ ἄνθρακες συμπνίγονται.

φ 630 Φῶ: εἴπω.

φ 631 Φωγύνω: τὸ φρύγω.

φ 632 Φῶδον: τὸ ἐν χειμῶνι καῦμα. καὶ Φώδων, φλυκταινῶν. ἐκ βαλανείου δὲ διὰ τὸ τοὺς πένητας ἀποροῦντας ἐνδυμάτων, διὰ τὸ ψύχος ἐν βαλανείοις καθεύδειν καὶ φλυκταίνας ποιεῖν.

φ 633 Φῴζω: τὸ καίω.

φ 634 Φῷδες: αἱ ἀπὸ τῆς φλογὸς φλύκταιναι.

φ 635 Φωκαέων ἀρά: Φωκαεῖς γὰρ καταλιπόντες τὴν πόλιν ἐν τῇ ὑπὸ Ἄργου πολιορκίᾳ ὥρμησαν ἐπ’ Ἰταλίας, μύδρους εἰς τὴν θάλασσαν βαλόντες καὶ ἐπαρασάμενοι μὴ πρότερον ὑποστρέψειν εἰς τὴν ἑαυτῶν ἢ τούτους ἀνενεχθῆναι.

φ 636 Φωκᾶς: ὄνομα κύριον.

φ 637 Φωκαία: ἡ ἐκ τῆς Φώκης. Φωκεοῦ δὲ ὄνομα τόπου.

φ 638 Φώκεια: ὄνομα πόλεως.

φ 639 Φωκέως: Φανοτέως. ὁλοσχερέστερον Φωκεῖς, ἐπὶ μέρος δὲ Φανοτεῖς.

φ 640 Φωκίωνος: ὄνομα κύριον. ζήτει περὶ τούτου ἐν τῷ Φρύνων.

φ 641 Φώκη: δύσοσμον ζῷον θαλάττιον. Ἀριστοφάνης· φώκης δ’ ὀσμὴν εἶχε.

φ 642 Φῶκος. καὶ παροιμία· Φώκου ἔρανος· κατὰ τῶν εὐωχίας συναγόντων ἐπὶ τῷ ἑαυτῶν κακῷ· Φῶκος γάρ τις θυγατέρα ἔχων ἐπὶ γάμῳ, πολλῶν αὐτὴν μνηστευομένων, ἐράνους συνῆγε καὶ ἑστιῶν τοὺς μνηστῆρας ἀνεβάλλετο τὸν γάμον. ὀργισθέντες οὖν ἐκεῖνοι ἐν τῷ συμποσίῳ ἀπέκτειναν τὸν Φῶκον. Φωκὸς δὲ ὀξυτόνως, τὸ ἀγγεῖον.

φ 643 Φωκυλίδης, Μιλήσιος, φιλόσοφος, σύγχρονος Θεόγνιδος. ἦν δὲ ἑκάτερος μετὰ χμζʹ ἔτη τῶν Τρωϊκῶν, ὀλυμπιάδι γεγονότες νθʹ· ἔγραψεν ἔπη, καὶ ἐλεγείας, Παραινέσεις ἤτοι γνώμας· ἅς τινες Κεφάλαια ἐπιγράφουσιν. εἰσὶ δὲ ἐκ τῶν Σιβυλλιακῶν κεκλεμμένα.

φ 644 Φωλάδι: ἐμφωλευούσῃ. καὶ Φωλάδος, σπηλαίου κρυπτοῦ. Βάβριος· φρίξας δὲ χαίτην ἔκθορε φωλάδος κοίλης. καὶ Φωλάς, εἶδος νόσου. σημαίνει δὲ καὶ τὴν κατοικίδιον ὄρνιν, τὴν ἐπῳάζουσαν καὶ κλώσσουσαν.

φ 645 Φωλεὰ καὶ Φωλεία: ἐκ τοῦ φωλεύω.

φ 646 Φωλεόν: τὸ παιδευτήριον Ἴωνες. ὅθεν ἀποφώλιοι, οἱ ἀπαίδευτοι. σημαίνει δὲ καὶ τὴν κατάδυσιν τῶν ὄφεων.

φ 647 Φωλεύουσι: κρύπτουσι.

φ 648 Φωλήτοροι: οἶκοι συμποσιακοί.

φ 649 Φωλίς· καὶ Φωλιδωτός.

φ 650 Φῶμεν: εἴπωμεν, ἐροῦμεν.

φ 651

Φωνασκεῖν: εὐφωνίαν ἀσκεῖν. καὶ Φωνασκικόν, βούκινον. ἐπὶ Θεοδοσίου τοῦ βασιλέως τὸ τῶν φωνασκούντων γένος, πανταχόθεν ἀνιχνευόμενον.

φ 652 Φωνεῖν: λέγειν.

φ 653 Φωνή· ὅτι εἶδος ἡ φωνὴ τοῦ ψόφου. ἔστι δὲ φωνὴ πλῆξις ἀέρος, ἢ ἀὴρ πεπληγμένος. οὐ γὰρ πᾶς ψόφος φωνή, ὥσπερ οὐδὲ ὁ ἐκ τῶν ἀψύχων οἷον κυμάτων ἢ ἀνέμων γινόμενος· ἀλλ' ἐμψύχου τινὸς ψόφος ἐστὶν ἡ φωνή. οὐ μὴν δὲ πᾶς ψόφος ἐμψύχου φωνή· οὐδὲ ὁ διὰ χειρῶν κρότος οὐδὲ τὸ χρέμψασθαι οὐδὲ τὸ βῆξαι· φωνὴ γάρ ἐστιν ἐμψύχου ψόφος, διὰ τῶν φωνητικῶν γινόμενος μορίων, οἷον πνεύμονός τε καὶ τῶν ἀναπνευστικῶν μορίων, καὶ τῆς τραχείας ἀρτηρίας καὶ τῆς φάρυγγος. καὶ οὐδὲ διὰ τούτων ὁπωσοῦν τοῦ ψόφου γινομένου, διόπερ οὐδὲ ὁ βήττων λέγεται φωνεῖν· ἀλλ' ὅταν μετὰ φαντασίας σωματικῆς ταῦτα κινηθῇ, τότε ὁ γινόμενος ὑπὸ τούτων ψόφος φωνὴ καλεῖται. τρία δὲ ταῦτα θεωρεῖται περὶ τὴν τοῦ ἀνθρώπου φωνήν, ῥυθμός, ἁρμονία, λέξις. ἔχει δὲ ὁ μὲν ῥυθμὸς περὶ τὸν χρόνον τῆς ἐκφωνήσεως τὸν μακρὸν καὶ τὸν βραχύν· διὸ καὶ τῶν φωνηέντων τὰ μὲν ἐν πλείονι χρόνῳ ἐκφωνούμενα μακρὰ ὠνόμασαν, τὰ δὲ ἐν ἐλάττονι βραχέα. ἐκ δὲ τῆς τούτων πρὸς ἄλληλα συνθέσεως τὸ εὔρυθμον τῶν ἐπῶν γίνεται. ἡ δὲ ἁρμονία περὶ τὴν τοῦ ὀξέος καὶ βαρέος συμμετρίαν ἔχει, ἡ δὲ λέξις περὶ τὴν διατύπωσιν τῶν συλλαβῶν, ἐξ ἧς ἡ τῶν λεγομένων σημαίνεται ἔννοια. ἐπεὶ οὖν ταῦτα μὲν ἔχει κυρίως ἡ τοῦ ἀνθρώπου φωνή, μιμοῦνται δέ πως ταῦτα καὶ τὰ μουσικὰ ὄργανα, διὰ τοῦτο κατ' ἀναλογίαν λέγονται καὶ αὐτὰ φωνεῖν. ὅτι διακρίνουσι τὴν φωνὴν ἀπὸ τοῦ ψόφου διχῶς, ἔκ τε τοῦ τρόπου τῆς γενέσεως καὶ ἐκ τοῦ τέλους. ἐκ μὲν οὖν τοῦ τρόπου τῆς γενέσεως, ὅτι ἡ φωνὴ γίνεται τοῦ εἰσπνευσθέντος ἀέρος ἐκθλιβομένου τῇ συστολῇ τοῦ θώρακος κατὰ τὴν ἐνυπάρχουσαν αὐτῷ ψυχικὴν δύναμιν καὶ προσπίπτοντος τῇ τραχείᾳ ἀρτηρίᾳ καὶ τῷ ἐναπειλημμένῳ ἐν αὐτῇ ἀέρι, ὃς τῇ ἀθρόᾳ πληγῇ ἄθρυπτος ἀποπαλλόμενος ἀεὶ τύπτει τὸν προσεχῆ ἀέρα ἕως τῆς ἀκοῆς. ἔστι γὰρ τὸ μὲν ἀχανὲς τοῦ στόματος τὸ μέχρι τῆς ῥίζης τῆς γλώττης φάρυγξ· ἐκεῖθεν δύο ἀγγεῖα φέρονται, τὸ μὲν ἐπὶ τὸν θώρακα, καὶ καλεῖται ἀρτηρία, τὸ δὲ ἕτερον πρὸς τῷ τένοντι, καὶ καλεῖται οἰσοφάγος. γίνεται δὲ διὰ τῆς τραχείας ἀρτηρίας ἡ πάροδος τοῦ πνεύματος, ἥ τε κατὰ τὴν εἰσπομπὴν καὶ τὴν ἐκπομπήν, ὅπερ τῷ εἰρημένῳ τρόπῳ ἐκπνεόμενον ποιεῖ ψόφον, ὃς καλεῖται φωνή, ὅταν μετά τινος σημαντικῆς φαντασίας γίνηται. ἐκ μὲν οὖν τοῦ τρόπου τῆς γενέσεως ταύτῃ διαφέρει ἡ φωνὴ τῶν ψόφων. ἐκ δὲ τοῦ τέλους, ὅτι ἡ φωνὴ καθ' ὁρμήν τινα τοῦ ζῴου γίνεται καὶ προσσημαίνει τι· διὸ καὶ μετὰ φαντασίας. διὸ καὶ οἱ τῶν ἀλόγων ψόφοι φωναί. καὶ γὰρ ὁ κύων, ὁπηνίκα φαντασίαν ἔχει τοῦ ἀλλοτρίου, ὑλακτεῖ· ὅταν δὲ τοῦ οἰκείου, σαίνει. καὶ ἐπὶ τῶν ἄλλων ζῴων ὡσαύτως σημαντικαί εἰσιν αἱ φωναὶ τῶν ψυχικῶν δυνάμεων καὶ διαθέσεων. καὶ γὰρ τροφῆς ὀρεγόμενα ἢ ἄλλου τινὸς κέχρηται φωνῇ.

φ 654 Φωνή· ζήτει ἐν τῷ ἀόρατον.

φ 655 Φωνή· ζήτει περὶ πρώτης φωνῆς ἐν τῷ Βεκκεσέληνα.

φ 656 Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ· ζήτει ἐν τῷ τροχός.

φ 657 Φωνὴ καὶ κραυγή: παρὰ τῇ γραφῇ ἡ τῆς ψυχῆς προθυμία. φωνῇ μου πρὸς κύριον ἐκέκραξα. καὶ Φωνήεις, ὁ φωνητικός.

φ 658 Φώνημα: τὸ φθέγμα.

φ 659 Φωνήσας· αἰτιατικῇ.

φ 660 Φῶνος: ὁ μεγαλόφωνος.

φ 661 Φωνῶ· αἰτιατικῇ.

φ 662 Φώρ: ὁ κλέπτης. ἡ δοτικὴ φωρί.

φ 663 Φωραθείς: εὑρεθείς, γνωσθείς. Πάμφιλος δανειστὴς παρὰ Ἀριστοφάνει· ὃς φωραθεὶς ἐπ' αὐτοφώρῳ κατελύθη.

φ 664 Φωρᾶν: ἐρευνᾶν, ἐκζητεῖν.

φ 665 Φῶρας: λῃστάς. ἀπὸ τοῦ τὴν φώραν ἐρευνῆσαι.

φ 666 Φωράσας: διερευνήσας, καταλαβών. καὶ Φωράσω, εὕρω, θεωρήσω, ἐρευνήσω. καὶ Φωράσαι.

φ 667 Φώρια: λαθραῖα, λῃστήρια· ἢ κλοπιμαῖα πράγματα. ἐπήλυσιν ὄφρ' ἀλέοιτο φώριον. καὶ ἐν Ἐπιγράμμασι· φώρια δ' ἀμφαδίων λέκτρα μελιχρότερα. καὶ Φωρεία, ἐπὶ τῆς λῃστείας ταῦτα εἴληπται. καὶ Φώριον, τὸ κλέμμα.

φ 668 Φωριαμός: κιβωτός.

φ 669 Φῶρος: κατάσκοπος.

φ 670 Φωρυτός: κόπρος, ἢ χῶμα.

φ 671 Φώς: ὀξυτόνως ὁ ἄνθρωπος· Φῶς δὲ περισπωμένως. ὅπερ ἐστὶν ἐνέργεια καὶ τελειότης τοῦ δυνάμει διαφανοῦς. τὸ δὲ φῶς οὐδενὶ ἄλλῳ κρίνεται ἢ τῇ ὄψει. φῶς οὖν ἡ τοῦ διαφανοῦς ἐνέργεια, καθό ἐστι διαφανές, τουτέστι τὸ εἶδος καὶ ἡ τελειότης αὐτοῦ. δυνάμει γὰρ ὄντος τοῦ διαφανοῦς, ἐπιγενόμενον τὸ φῶς καὶ εἰδοποιῆσαν καὶ τελειῶσαν αὐτὸ ἐποίησεν ἐνεργείᾳ διαφανές. τὸ δὲ οὔτε σῶμά ἐστιν οὔτε κατ' ἐκπομπὴν σωμάτων τινῶν γίνεται. πῶς γὰρ οἷόν τε ἦν ἀναβλέψαντας ἡμᾶς ἀθρόον τοῦ οὐρανοῦ ἀντιλαβέσθαι; πῶς γὰρ οἷόν τε ἐστὶν ἀχρόνως σώματος τοσαύτην κινηθῆναι διάστασιν; δέδεικται γὰρ δύο ζῳδίων διάστημα εἶναι· καὶ τριπλασιοεπιέβδομός ἐστιν ἡ περίμετρος τῆς διαμέτρου· ἔστι δὲ τὸ ἀπὸ τοῦ κέντρου τὸ ἥμισυ τῆς διαμέτρου. δῆλον οὖν ὡς τῆς ὅλης διαμέτρου τέσσαρα ἐχούσης ζῴδια καὶ πρός, ἐπειδὴ ἡ περίμετρος ιβʹ ἔχει, τὸ ἥμισυ τῆς διαμέτρου δύο ἂν ἔχοι ζῴδια καὶ πρός. πῶς οἷόν τε σῶμα ἀχρόνως τοσοῦτον κινηθῆναι διάστημα; αὕτη γοῦν ἡ ὀξυτάτη τῶν κινήσεων, λέγω δὴ ἡ τῆς ἀπλανοῦς, ἐν δύο ὥραις τὸ ἑκτημόριον τοῦ παντός, λέγω δὴ τὰ δύο ζῴδια, κινεῖται. πῶς οὖν οὐκ ἄλογον τὰ ἐκπεμπόμενα σώματα, τὰ ἐκ τῶν ὄψεων, καὶ τῆς ἀπλανοῦς ὀξυκινητότερα ὑποτίθεσθαι; καὶ πλεῖστα ἕτερα ἅττα περὶ φωτός, ὅτι μή ἐστι σῶμα, συλλογίζεται, ἃ παρήκαμεν δι' ἀπειρίαν· ἅ τις ζητησάτω. Φῶς καὶ ἡ θεία κηδεμονία. Δαβίδ· καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. ὅτι πᾶν σῶμα τὴν τοῦ φωτὸς δεχόμενον ἐνάργειαν, εἰ προσπέσοι λεῖόν τι καὶ στιλπνὸν σῶμα, δρᾶν αὐτὸ οὕτως ὥστε καὶ αὐτὸ τὴν ὁμοίαν ἐνάργειαν ἀντιπέμπειν, ὥσπερ ἐν ἀργύρῳ καὶ ἐν τοῖς ἐσόπτροις, καὶ ἐν ὕδατι καὶ ἐν ἄλλοις πλείστοις. διὰ τοῦτο γοῦν καὶ ἡ σελήνη δεχομένη τὸ τοῦ ἡλίου φῶς φωτίζει τὰ τῇδε καὶ τοῦτο φαμὲν φωτὸς ἀντανάκλασιν, τὴν ἀπὸ τῶν δεχομένων καὶ δυναμένων ὁμοίαν ἐνεργεῖν ἐνέργειαν.

φ 672 Φωσθονία: ὄνομα μιᾶς τῶν Ἀλκυονίδων. καὶ ζήτει ἐν τῷ Ἀλκυονίδες.

φ 673 Φωσφόρος: ὁ τὸ φῶς ἀνατέλλων.

φ 674 Φωσσώνιον: λινοῦν τι, ἤτοι σινδόνιον· ἢ καὶ τὸ ἱστίον τῆς νεὼς πεφυσημένον· ἢ προσώπου τι ἐκμαγεῖον. λέγεται δὲ οὕτως καὶ ὃ παρὰ Ῥωμαίοις καλεῖται ὀράριον.

φ 675 Φώσωνος: τοῦ ἀρμένου.

φ 676 Φώσωρις.

φ 677 Φῶτα: ἄνδρα. οὐ γὰρ μόνον ὁ μέγας κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει, ὡς λέγει Πίνδαρος, ἀλλὰ καὶ ὁ μέγας ἀνὴρ οὐδένα μικρὸν ἀγῶνα προσίεται· ἀλλ' ὅπου φυγάδες ἄλλοι δι' ἀνανδρίαν ἀποδιδράσκουσιν, ἐνταῦθα καταβαίνει παραβαλλόμενος, ἔνθ' ἀρετὴ διαείδεται ἀνδρῶν, κατὰ τὸν Ποιητήν.

φ 678 Φωταύγεια: ἡ λαμπρότης. καὶ Φωταυγός.

φ 679

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φωτεινός: ὄνομα κύριον.

φ 680 Φωτίζειν· αἰτιατικῇ. εἰς φῶς ἄγειν, ἐξαγγέλλειν. οἱ δὲ Ῥωμαῖοι νομίσαντες ἤδη τὸν καιρὸν παραδιδόναι φωτίζειν τὸ κατὰ τὴν ἐντολὴν ἀπόρρητον.

φ 681 Φράβιθος· οὗτος στρατηγὸς ἦν τῆς ἀνατολῆς, ὃς ἀκμάζων τὴν ἀρετὴν ἐνόσει τὸ σῶμα, τῆς ψυχῆς ὑγιαινούσης πλέον. καὶ τό γε σῶμα διαλυόμενον ἤδη καὶ ἀποκολλώμενον εἰς τὴν λύσιν συνεγόμφου καὶ διέπλεκεν εἰς πῆξίν τινα καὶ ἁρμονίαν, ὅπως ἂν ἀρκέσειε τῷ καλῷ. ὃς τοὺς λῃστὰς ῥᾳδίως συνεῖλεν, ὥστε μικροῦ καὶ τὸ ὄνομα τῆς λῃστείας ἐκ τῆς μνείας τῶν ἀνθρώπων ἐκπεσεῖν. ἦν δὲ Ἕλλην τὴν θρησκείαν.

φ 682 Φράγκοι: Γερμανικοί.

φ 683 Φράγματα: ἀσφαλίσματα. ἐν Ἐπιγράμμασι· τὰ δ᾽ ὀκτάριζα μετώπων φράγμαθ᾽ ὑπὲρ κραναὰν ἆλος ἔπαξε πίτυν. τὰ κέρατα λέγει τῆς ἐλάφου.

φ 684 Φραγνύντες: καθοπλίζοντες. τῶν νέων τοὺς ἀπορωτάτους τοῖς ὅπλοις φραγνύντες.

φ 685 Φραδέος: φρονίμου.

φ 686 Φράδμων: συνετός, φρόνιμος, ἢ ἔμπειρος.

φ 687 Φραζόμενος: σκεπτόμενος, διανοούμενος.

φ 688 Φράζουσι: σημαίνουσι, δηλοῦσι.

φ 689 Φραώτης: ὄνομα κύριον.

φ 690 Φράσας: φρασάμενος, ἐπινοήσας. δόλος ἦν ὁ φράσας. τουτέστι τὴν ἑστίασιν ἐν ᾗ ἀνῃρέθη ὁ Ἀγαμέμνων. ἔρως ὁ κτείνας. ὁ Αἴγισθος δι᾽ ἔρωτος.

φ 691 Φραστῆρας: εἰδήμονας, ἐπιστήμονας. Ξενοφῶν· εἶχε δὲ τούτους ὁ Κῦρος ὁδῶν φραστῆρας καὶ ὑδάτων καὶ χιλοῦ.

φ 692 Φραστῆρες: οἱ γνώμονες τῶν ἡλικιῶν ὀδόντες. Ἀριστοφάνης· ἑπτέτης ὢν Ἀρχέδημος οὐκ ἔφυσε φράτορας. ἀντὶ τοῦ εἰπεῖν ὀδόντας· φραστῆρας, φράτορας εἶπε, τούτεστι συγγενεῖς. ἡ μεταφορὰ ἀπὸ τῶν παίδων, οἵτινες ὄντες περὶ τὰ ἑπτὰ ἔτη ἔχουσι πάντας τοὺς ὀδόντας. λέγει οὖν, ὅτι χρονίσας ἐν ταῖς Ἀθήναις οὐκ ἠδυνήθη ἀναγραφῆναι εἰς τοὺς πολίτας. καὶ νῦν δημαγωγεῖ ἐν τοῖς ἄνω νεκροῖς κἄστι τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας. ἀντὶ τοῦ εἰπεῖν πολιτείας ἢ δημαγωγίας, μοχθηρίας εἶπε· χαριέντως πρὸς τὰ κακὰ αὐτῶν. οὐ λέγει δὲ διὰ τὴν κακοπραγίαν νεκροὺς τοὺς Ἀθηναίους· ἀλλὰ πιθανῶς οἱ κάτω τοὺς ζῶντας ἄνω νεκρούς φασι.

φ 693 Φρατέρες: φρατρία ἐστὶ τὸ τρίτον μέρος τῆς φυλῆς, φράτερες δὲ οἱ τῆς αὐτῆς φρατρίας μετέχοντες. καὶ φρατρίζειν, τὸ τῆς αὐτῆς φρατρίας μετέχειν. ζήτει ἐν τῷ γεννῆται.

φ 694 Φράτορες καὶ Φρατρίαι καὶ Φρατρίαρχος: φρατρία ἐστὶ τὸ τρίτον μέρος τῆς φυλῆς. ὁ οὖν τούτου τοῦ μέρους ἡγούμενος φρατρίαρχος ἐκαλεῖτο· ἐγγράφεται δὲ πατρόθεν εἰς τοὺς φράτορας τῇ τῶν Ἀπατουρίων ἑορτῇ. φασὶ δὲ τὸ αὐτὸ ἔθνος εἶναι τριττύν, ἤτοι τὴν φρατρίαν ἢ φρατορίαν. Φράτορας δὲ τοὺς συγγενεῖς καλοῦσιν. εἰσὶ δὲ οἱ τῆς αὐτῆς φρατρίας μετέχοντες, οἷον πατριᾶς τινος. ὁ γοῦν Ὅμηρος τὴν αὐτὴν καὶ πάτρην λέγει. ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ᾽ ἴα πάτρη. μεταφορᾷ φάτρη καὶ φράτρη. μεταπέπτωκε δὲ τὰ στοιχεῖα· καθάπερ ἐπὶ τοῦ Πάτριος Ζεὺς καὶ Φάτριος. τὸ δὲ γράφεσθαι εἰς τοὺς φράτορας σύμβολον εἶχον τῆς συγγενείας.

φ 695 Φραχθέντες: ἀσφαλισάμενοι.

φ 696 Φρεάντλης: οὕτως ἐκαλεῖτο Κλεάνθης ὁ φιλόσοφος· μὴ ἔχων γὰρ ὅθεν τραφείη, τὰς μὲν νύκτας ἤντλει ὕδωρ μισθῷ, μεθ᾽ ἡμέραν δὲ τοῖς βιβλίοις ἐσχόλαζε.

φ 697 Φρέαρ διαφθορᾶς: ἡ διηνεκὴς τιμωρία παρὰ τῷ Δαβίδ.

φ 698 Φρεάριος: δῆμος τῆς Λεοντίδος. Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φ 699 Φρεάτια: τὰ βαθέα ὀρύγματα. πᾶσαν ἐδῄωσε τὴν γῆν, μήτε τῶν φρεατίνων ναμάτων φεισάμενος. καὶ αὖθις· φρεατίας δὲ εἶχεν ὁ τόπος ἀγνοουμένας. καὶ Φρεατία, ὄρυξις.

φ 700 Φρενήρης: φρόνιμος, ἢ παράφρων. Ἀγαθίας· ἦν δέ τις Ἀρμένιος φρενήρης καὶ ἐν δέοντι φιλοκίνδυνος. καὶ αὖθις· ὁ δὲ Κόμοδος ἦν φύσιν τε οὐ φρενήρης καὶ οὐ μάλα τι ἀγαθὸς τὰ πολεμικά.

φ 701 Φρενίτις: νόσος.

φ 702 Φρενοβλάβεια.

φ 703 Φρενοβλαβής: ὁ τὰς φρένας βεβλαμμένος, ὁ παράφρων. ἐπὶ Λέοντος τοῦ βασιλέως Ῥωμαίων Αἰθίοπες ἐκόμισαν καμηλοπαρδάλεις καὶ δύο ἐν βραχυτάτοις σώμασιν ἄνδρας φρενοβλαβεῖς, οὓς δὴ πυγμαίους Ὅμηρος ὠνόμασε.

φ 704 Φρενόθεν· Σοφοκλῆς· οὔ ποτε γὰρ φρενόθεν ἐπ’ ἀριστερά, παῖ Τελαμῶνος, ἔβης, τόσον ἐν ποίμναισι πιτνῶν. ἀντὶ τοῦ οὐ γὰρ ἐπὶ τοσοῦτον ἄφρων εἶ, ὡς ἄνευ αἰτίας θεῶν ἐμπεσεῖν τοῖς ποιμνίοις. ἀριστερὰ δὲ τὰ μωρὰ ἐκάλουν οἱ παλαιοί, δεξιὰ δὲ τὰ συνετά.

φ 705 Φρενόληπτος: ὁ ἀναίσθητος.

φ 706 Φρενωθῆναι: ἀντὶ τοῦ σωφρονισθῆναι. ἀπὸ τοῦ φρενῶ, τρίτης συζυγίας τῶν περισπωμένων.

φ 707 Φρεορύκτης· Φρεωρύχος δέ. καὶ Φρεατορύκτης. καὶ Φρεορυκτῶ, ῥῆμα· Φρεωρυχῶ δέ.

φ 708 Φρείατα: φρέατα.

φ 709 Φρήν, φρένα: διάνοιαν.

φ 710 Φρήμας· Πίνδαρος· φρήμας, δι’ αἰθέρος. διότι πυρώδης ὢν ὁ αἰθὴρ οὐ τρέφει. καὶ ζήτει ἐν τῷ αἰθήρ.

φ 711 Φρήτρα: ἡ συγγένεια. οἳ σφᾶς ἐκόσμουν, καὶ διεῖλεν ἐς φρήτρας λόχους τε καὶ φάλαγγας, ὥσπερ ἀνθρώπους.

φ 712 Φρίκα: τὴν ἐπιφάνειαν τοῦ κύματος.

φ 713 Φρίκη: τρόμος, ἅλμός. καὶ τολμηθὲν οἱ τὸ μέγα τόλμημα, φρίκη τις αὐτὸν περιέρχεται, καὶ νοσεῖ νόσῳ μακροτάτη.

φ 714 Φριμάξασθαι: παρὰ Ἡροδότῳ φρυάξασθαι. πεφυσῆσθαι.

φ 715 Φριμασσομένη: χρεμετίζουσα, ἀγριουμένη· ἢ ἀτάκτως πηδῶσα. ἡ δὲ ἵππος ὀπισθόρμητα φριμασσομένη ἐχώρει καὶ ἀδύνατα εἶχεν ἐς τὰ ἄδενδρα ἐπιβῆναι. καὶ αὖθις· κτύπου τῶν ὅπλων καὶ φριμαγμοῦ τῶν ἵππων κατακούοντες ἐξεπλήσσοντο.

φ 716 Φρίξ: ἡ ἄνωθεν καὶ ἐξεπιπολῆς τῶν κυμάτων κίνησις. ἢ ὁ ἐπιπολάζων τῷ κύματι ἀφρός, ὅτε ἄνεμος ἄρχεται πνεῖν.

φ 717 Φρίξ: τῶν ὑδάτων μελανία.

φ 718 Φριξότριχα: ὀρθοῦντα τὰς τρίχας. Βάβριος· κοιμωμένου λέοντος ἀγρίης χαίτης διέδραμε μῦς, ὁ δὲ λέων ἐθυμώθη, φρίξας δὲ χαίτην ἔκθορε φωλάδος κοίλης. καὶ Φρίσσω, τὸ πυκνῶ.

φ 719 Φρίσσω· αἰτιατικῇ.

φ 720 Φρόνημα: ἡ ἔπαρσις. ὁ δὲ ὑπὸ φρονήματος καθίησι τὰς χεῖρας ὡς διαρρήξων τὸ ξύλον καὶ πιεσθεὶς θνήσκει. Φρόνημα καὶ ἡ ἀλαζονεία. οἱ δὲ Ῥόδιοι φρόνημα πολὺ πρότερον ἔχοντες, ὡς καὶ αὐτοὶ τόν τε Φίλιππον καὶ τὸν Ἀντίοχον νενικηκότες τῶν τε Ῥωμαίων κρείττους ὄντες, ἐς τοσοῦτον δέος ἀφίκοντο, ὥστε τῶν τἀναντία τοῖς Ῥωμαίοις φρονησάντων ἐπὶ τιμωρίαν πέμψαι.

φ 721 Φρόνημα: ἑνικῶς, διὰ τοῦ η· πληθυντικῶς δὲ τὰ φρόνιμα διὰ τοῦ ι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φ 722 Φρονηματίας.

φ 723 Φρονηματίζομαι: ὅτι δοκῶ φρονεῖν.

φ 724 Φρονηματισθῆναι: οὕτως Ὑπερίδης. ἀντὶ τοῦ φρονήματος καὶ οἰήσεως πληρωθῆναι. οἱ δὲ φρονηματισθέντες ὑπὸ τῶν δεδηλωμένων ἕτοιμοι ἦσαν.

φ 725 Φρονηματισμόν: ἔπαρσιν, τύφον. θεασάμενοι δὲ τὸν φρονηματισμὸν τῶν ἀνθρώπων ἔν τε ταῖς κατ' ἰδίαν ὁμιλίαις καὶ ταῖς κατὰ κοινὸν ἐντεύξεσιν ἐξ αὐτῆς ἐπανῆλθον εἰς τὸν στρατηγόν. καὶ τὸ ῥῆμα Φρονηματίζω.

φ 726 Φρόνησις· φρόνησις ἐστὶν ἐπιστήμη κακῶν καὶ ἀγαθῶν καὶ οὐδετέρων.

φ 727 Φρόνιν: τὴν φρόνησιν. κατὰ δὲ φρόνιν ἤγαγε πολλήν. Ὅμηρος.

φ 728 Φρονούντων: ἀντὶ τοῦ φρονείτωσαν. καὶ ζήτει ἐν τῷ δρώντων.

φ 729 Φρονῶ· τὸ καυχῶμαι.

φ 730 Φρονῶ· πῶς οὖν οὗτος ὁ σοφὸς οὐκ ηὔδα τόδε. οὐκ οἶδ'· ἐφ' οἷς γὰρ οὐ φρονῶ, σιγᾶν φιλῶ.

φ 731 Φροντιζόντων: συνεστώτων. καὶ Φροντιζόντων, ἀντὶ τοῦ στυγναζόντων. ἢ σύνοδός τις καὶ θάκος σοφῶν. φροντισταὶ δὲ ἐκαλοῦντο οἱ περὶ τὸν Σωκράτην διὰ τὸ φροντίζειν περὶ ἀλλήλων καὶ διὰ τὸ μηδέποτε παύεσθαι φροντίδος. Μεριμνοφροντισταὶ δὲ καλοῦνται οἱ σοφοί, οἱ Σωκρατικοί. καὶ Φρόντισμα, τὸ σόφισμα.

φ 732 Φροντίζω· γενικῇ.

φ 733 Φροντίς: ἀγωνία, καὶ μέριμνα, καὶ φόβος. ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα;

φ 734 Φροντιστήριον: διατριβή, ἢ μοναστήριον· ὅπερ Ἀττικοὶ σεμνεῖον καλοῦσι.

φ 735 Φρόντων, Ἐμισηνός, ῥήτωρ, γεγονὼς ἐπὶ Σευήρου τοῦ βασιλέως ἐν Ῥώμῃ. ἐν δὲ Ἀθήναις ἀντεπαίδευσε Φιλοστράτῳ τῷ πρώτῳ καὶ Ἀψίνῃ τῷ Γαδαρεῖ. ἐτελεύτησε δὲ ἐν Ἀθήναις, περὶ ξʹ ἔτη γεγονώς· καὶ τῆς ἀδελφῆς Φροντωνίδος παῖδα ὄντα Λογγῖνον τὸν κριτικὸν κατέλιπεν κληρονόμον. ἔγραψε δὲ συχνοὺς λόγους.

φ 736 Φρωγεῖν: φράττειν Ἀττικῶς.

φ 737 Φροῦδα: ἀφανῆ, ἄφαντα. φροῦδα γὰρ αὐτοῖς καὶ ἐς τοὐναντίον περιέστη τὰ τῶν ἐλπίδων. Σοφοκλῆς· ἀλλ' ἐπεὶ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ. φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος. καὶ Φροῦδος, ἀντὶ τοῦ ἐκποδών. παρὰ πολλοῖς δὲ τοὔνομά ἐστι.

φ 738 Φροῦδος: πρὸ ὁδοῦ· οἱονεὶ ἀπεληλυθώς, ἔκδημος. Ἀπολλόδωρος φροῦδος μὲν ὁ πρὸ ὁδοῦ φησιν ἢ φροῦρος ὁ προορῶν, ἢ ἤδη ἔξω ὤν. καὶ αὖθις· Φρουρὰς ᾄδων ὀλίγου φροῦδος γεγένημαι. ἀντὶ τοῦ διαγρυπνῶν περὶ τὴν φρουράν. διχῶς δὲ λέγεται ἡ γραφή· φρουρὰς ᾄδων καὶ φρουρὰς ἰδών. καὶ τὸ μὲν φρουρὰς ᾄδων ἀντὶ τοῦ συνεχῶς ᾄδων φρουράς, τὸ δὲ φρουρὰς ἰδὼν ἀντὶ τοῦ φυλάττων· ἐπειδὴ φύλακες ἦσαν τῶν τοῦ φροντιστηρίου θυρῶν. φρουρὰς δὲ ᾄδων, ἀντὶ τοῦ ἀγρυπνῶν· οἱ γὰρ φρουροῦντες πρὸς τὸ ἀποσοβεῖν τὸν ὕπνον καὶ τὴν ἀγρυπνίαν αὐτῶν ᾖδον.

φ 739 Φρουρά: φυλακή. περὶ τῆς Σπάρτης εἰς φόβον κατέστησε Λακεδαιμονίους, ὡς καὶ φρουρὰν αὐτοὺς ἐν τῇ πόλει καταστῆσαι.

φ 740 Φρουρεῖ: φυλάσσει.

φ 741 Φρουρεῖν ἢ πλουτεῖν: ἐπὶ τῶν κερδαίνειν ἐφιεμένων· Ἀθηναῖοι γὰρ φρουραῖς διαλαβόντες τοὺς νησιώτας μισθοὺς ἔταξαν μεγάλους τοῖς φυλάσσουσιν ὑπ' αὐτῶν χορηγεῖσθαι τῶν νησιωτῶν. δι' ἀτέλειαν οὖν καὶ τὸ ἀταλαιπώρως ἐκ τῶν ἀλλοτρίων ζῆν εἰρῆσθαι, ὡς δέον ἢ πλουτεῖν τινα ἢ φρουρεῖν.

φ 742

Φρουρήσεις ἐν Ναυπάκτῳ: τοῖς Ναύπακτον φρουροῦσιν ὀλίγου μισθοῦ διδομένου, τῶν δ’ ἐπιτηδείων πολλοῦ πιπρασκομένων, τὴν παροιμίαν γενέσθαι. ἔνιοι δέ, ὅτι Φίλιππος ἑλὼν Ναύπακτον Ἀχαιῶν γνώμῃ τοὺς φρουροὺς αὐτῆς ἀπέκτεινε πάντας. ἱστορεῖ δὲ τοῦτο καὶ Θεόπομπος ἐν δευτέρῳ.

φ 743 Φρούριον: κάστρον. καί, φρούριον Χλομάρων.

φ 744 Φρουροί: τάξις ἐστὶν ἐκ διαδοχῆς ἱσταμένη πρὸ τοῦ στρατοπέδου μετὰ τῶν ὅπλων· καὶ δεινὸς ἐπ’ αὐτὴν Ῥωμαίων νόμος, τὸν ὑποχωρήσαντα καθ’ ἡνδηποτοῦν αἰτίαν θνήσκειν. οἱ δὲ τοῦ μετὰ κολάσεως τὸν μετ’ ἀρετῆς θάνατον προκρίναντες ἵστανται.

φ 745 Φροίμιον: προοίμιον.

φ 746 Φρύαγμα: ἡ τῶν ἵππων καὶ ἡμιόνων διὰ μυκτήρων ἠχή, ἀγρίῳ φυσήματι ἐκπίπτουσα. λέγεται δὲ καὶ ἐπὶ τῆς γελάσεως.

φ 747 Φρυαγμοσεμνάκους· Ἀριστοφάνης· ἔχων τρόπους φρυαγμοσεμνάκους τινάς.

φ 748 Φρυάττεσθαι: τὸ καταπλήττειν. οὕτως Μένανδρος. καὶ Φρυαττόμενος, ἐπαιρόμενος.

φ 749 Φρύγανον τίθεσθαι: τοῦτό φησιν, ἐπεὶ ὑπέβαλε φρύγανα πρὸς τὸ ἀνάψαι ὡς οἱ μάντεις. καὶ γὰρ ἑαυτοῖς τὰ φρύγανα τιθέασι πρὸς τὴν ἐπιστήμην ἑαυτῶν. διὰ τοῦτό φησιν, εὖ σοι δοκῶ φρύγανα τίθεσθαι.

φ 750 Φρύγα: τὸν τῆς Μητρὸς τῶν θεῶν. ζήτει ἐν τῷ βάραθρον.

φ 751 Φρυγίλος ὄρνις, τοῦ Φιλήμονος γένους. φρυγίλος, ὄνομα ὀρνέου. ὁ δὲ Φιλήμων κωμῳδεῖται ὡς Φρὺξ καὶ ξένος καὶ Κάρ. Ἀριστοφάνης φησί.

φ 752 Φρύγιον: δαλὸς ξηρός.

φ 753 Φρύγιος αὔλησις: ὥσπερ καὶ Δώριος καὶ Λύδιος. ζήτει ἐν τῷ Δώριος.

φ 754 Φρυγίων ἐρίων: ἐκεῖσε γὰρ ἁπαλὰ καὶ καλὰ ἔρια γίνεται. Ἀριστοφάνης· χλαῖναν γὰρ ἀπώλες’ ὁ μοχθηρὸς Φρυγίων ἐρίων διὰ τοῦτον.

φ 755 Φρυκτός: ἡ διὰ τῶν δᾴδων γινομένη ἐν πολέμοις λαμπάς.

φ 756 Φρυκτὸς ὁ κύαμος ἐλέγετο. ἀντὶ δὲ ψήφων κυάμους ἐφόρουν οἱ τῶν Ἀθηναίων δικασταί. ὅθεν καὶ τὸ διαφρυκτοῦν, διαψηφίζειν, διακληροῦν.

φ 757 Φρυκτός. καὶ Παραφρυκτωρευόμενος. οἱ κακουργοῦντες περὶ τὰς φυλακὰς καὶ φρυκτοὺς ἀνατείνοντες ἐναντίους τοῖς πεπιστευκόσι τὴν φυλακὴν ἐπὶ τῷ συμφέροντι τῶν ἀντικαθεζομένων παραφρυκτωρεύεσθαι λέγονται, ὥς φησι Λυσίας· τούτων εἷς ὁ πρεσβύτερος ἐν Σικελίᾳ παραφρυκτωρευόμενος τοῖς πολεμίοις, ληφθεὶς ὑπὸ Λαμάχου ἀπετυμπανίσθη. Φρυκτωρεῖν κυρίως τὸ διὰ πυρσῶν ἀνατεινόμενον σημαίνει.

φ 758 Φρυκτωρία: ἡ διὰ τῶν πυργῶν παραφυλακὴ νυκτερινή. ἢ λαμπάς. ἢ καῦσις. παρὰ τὸν πυρσόν, καὶ τὸ ὠρεῖν, ὅ ἐστι φυλάττειν. Φρυκτωρὸς δὲ ὁ τῆς φρυκτωρίας ἐπιμελούμενος. καὶ Φρυκτωρῷ· δοτικῇ.

φ 759 Φρυκτοί: λαμπάδες τινὲς ἀπὸ ξύλων γινόμεναι, ἅς τινες βαστάζοντες ἄνωθεν τῶν τειχῶν ἐσήμαινον τοῖς πλησιοχώροις ἢ τοῖς συμμάχοις, ὅταν τινὰς ἑώρων πολεμίους ἐπιόντας, ὡς ὅτι δεῖ προφυλάξασθαι. οὐ μόνον δὲ ἐπὶ πολεμίων τοῦτο ἐποίουν, ἀλλὰ καὶ ἐπὶ φίλων, ὅταν ἑώρων βοήθειαν ἐρχομένην, ἐσήμαινον πάλιν διὰ τῶν φρυκτῶν, ὡς οὐ δεῖ θορυβεῖσθαι. καὶ ὅτε μὲν φίλους ἐδήλουν, ἐβάσταζον τοὺς φρυκτοὺς ἠρεμοῦντες· ὅταν δὲ πολεμίους, ἐκίνουν.

φ 760 Φρύνη ἔχουσα λήκυθον πρὸς ταῖς γνάθοις: Φρύνη, παλαιὰ ἑταίρα. λήκυθος δέ, τουτέστι διῳδηκυῖα τὸ πρόσωπον.

φ 761

Φρῦνις, κιθαρῳδός, Μιτυληναῖος· ὃς ἐδόκει πρῶτος κιθαρίσαι παρ' Ἀθηναίοις καὶ νικῆσαι Παναθήναια ἐπὶ Καλλίου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείδου μαθητής. ὁ δὲ Ἀριστοκλείδης τὸ γένος ἦν ἀπὸ Τερπάνδρου· ἤκμασε δὲ ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά, εὐδόκιμος κιθαριστής. παραλαβὼν δὲ τὸν Φρῦνιν αὐλῳδοῦντα κιθαρίζειν ἐδίδαξεν. Ἴστρος δὲ ἐν τοῖς ἐπιγραφομένοις Μελοποιοῖς τὸν Φρῦνιν Λέσβιόν φησι, Κάνωπος υἱόν· τοῦτον δὲ Ἱέρωνος τοῦ τυράννου μάγειρον ὄντα δοθῆναι σὺν ἄλλοις πολλοῖς Ἀριστοκλείδῃ. ταῦτα δὲ σχεδίοις ἔοικεν εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ μάγειρος Ἱέρωνος, οὐκ ἂν ἐσιώπων οἱ κωμικοί, πολλάκις αὐτοῦ μεμνημένοι ἐφ' οἷς ἐκαινούργησε, κατακλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον.

φ 762 Φρύνιχος, Πολυφράδμονος ἢ Μινύρου, οἱ δὲ Χοροκλέους· Ἀθηναῖος, τραγικός, μαθητὴς Θέσπιδος τοῦ πρώτου τὴν τραγικὴν εἰσενέγκαντος. ἐνίκα τοίνυν ἐπὶ τῆς ξζʹ ὀλυμπιάδος. οὗτος δὲ πρῶτος ὁ Φρύνιχος γυναικεῖον πρόσωπον εἰσήγαγεν ἐν τῇ σκηνῇ, καὶ εὑρετὴς τοῦ τετραμέτρου ἐγένετο. καὶ παῖδα ἔσχε τραγικὸν Πολυφράσμονα. τραγῳδίαι δὲ αὐτοῦ εἰσιν ἐννέα αὗται· Πλευρωνία, Αἰγύπτιοι, Ἀκταίων, Ἄλκηστις, Ἀνταῖος ἢ Λίβυες, Δίκαιοι ἢ Πέρσαι ἢ Σύνθωκοι, Δαναΐδες.

φ 763 Φρύνιχος, Ἀθηναῖος, κωμικὸς τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας. ἐδίδαξε γοῦν τὸ πρῶτον ἐπὶ πςʹ ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ ἐστι ταῦτα· Ἐφιάλτης, Κόννος, Κρόνος, Κωμασταί, Σάτυροι, Τραγῳδοὶ ἢ Ἀπελεύθεροι, Μονότροπος, Μοῦσαι, Μύστης, Ποάστριαι, Σάτυροι.

φ 764 Φρύνιχος, Βιθυνός, σοφιστής. Ἀττικιστὴν ὑπ' Ἀττικῶν ὀνομάτων βιβλία βʹ, Τιθεμένων συναγωγήν, Σοφιστικῆς παρασκευῆς βιβλία μζʹ, οἱ δὲ οδʹ.

φ 765 Φρύνιχος, Μελανθᾶ, Ἀθηναῖος, τραγικός. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ καὶ τάδε· Ἀνδρομέδα, Ἠριγόνη. ἐποίησε καὶ Πυρρίχας. ὅτι Φρύνιχον Ἀθηναῖοι χιλίαις ἐζημίωσαν, ἅλωσιν Μιλησίων τραγῳδήσαντα.

φ 766 Φρυνίχου πάλαισμα: αὕτη τέτακται κατὰ τῶν πανούργως καὶ συνετῶς σοφιζομένων. Ἱστορεῖ δὲ Θουκυδίδης, ὅτι Φρύνιχος, στρατηγὸς Ἀθηναίων ἐν Σάμῳ, μελλόντων τῶν στρατιωτῶν κατάγειν Ἀλκιβιάδην, ἐδήλωσε τῷ ναυάρχῳ Λακεδαιμονίων ὁ Φρύνιχος, ὅτι βούλοιτο αὐτῷ προδοῦναι τὸ στράτευμα. λαβόντος δὲ τὴν ἐπιστολὴν Ἀλκιβιάδου καὶ πέμψαντος τοῖς Ἀθηναίοις, παρὰ μικρὸν ἐλθὼν ἀπολέσθαι ὁ Φρύνιχος γράφει πάλιν τῷ ναυάρχῳ τὸ γεγονός, αἰτιώμενος καὶ φάσκων πάλιν αὐτῷ προδώσειν τὸ στράτευμα, εἰ ἐπέλθοι. σημήνας δὲ οὕτω προηγόρευσε τοῖς στρατιώταις, δευτέραν ἥξειν ἐπιστολὴν κατ' αὐτοῦ παρ' Ἀλκιβιάδου· καὶ πολεμίων ἔφοδον ἐσομένων φυλάξασθαι. συμβάντων δὲ οὕτως τούτων καὶ κομισθέντων μὲν τῶν γραμμάτων, γενομένης δὲ τῆς ἐφόδου, ἐπίστευσαν οἱ στρατιῶται πάντα, καὶ τὰ νῦν καὶ τὰ πρότερον, κατὰ τοῦ Φρυνίχου δι' ἔχθραν ὑπὸ Ἀλκιβιάδου γεγενῆσθαι. καὶ αὖθις Ἀριστοφάνης· Φρυνίχου παλαίσμασιν, ἀντὶ τοῦ στρατηγήμασι· στρατηγοῦντος γὰρ αὐτοῦ ἡττήθησαν οἱ Ἀθηναῖοι καὶ πολλοὶ αὐτῷ προσεκρούσθησαν, ὡς προδόντος τὸν πόλεμον. κωμικὸς ποιητής, ὃς κινουμένους τοὺς χοροὺς εἰσῆγε καὶ παλαίοντας. ἦν δὲ στρατηγὸς Ἀθηναίων, ἐφ' οὗ πολλοὶ τῶν τραγικῶν ἄτιμοι ἐγένοντο. γεγόνασι δὲ Φρύνιχοι τέσσαρες.

φ 767 Φρύνιχος καὶ Λύκις καὶ Ἀμειψίας, κωμικοὶ ὑπόψυχροι. καὶ Ἀριστοφάνης· ἔνθεν ὥσπερ ἡ μέλιττα, Φρύνιχος ἀμβροσίων μελέων ἀπεγεύετο καρπὸν ἀεὶ φέρων γλυκεῖαν ᾠδάν.

φ 768 Φρῦνος: ὁ ἀδιάπλαστος βάτραχος. καὶ ἐπίγραμμα· ἀσπίδα, φρῦνον, ὄφιν καὶ Λαδικέας περίφευγε καὶ κύνα λυσσητῆρα, καὶ πάλιν Λαδικέας.

φ 769 Φρύνων καὶ Φιλοκράτης: ἀμφότεροι προδόται. καὶ ὁ μὲν διὰ τὴν προδοσίαν ἔφυγε καὶ ἐπὶ πορνοβοσκίᾳ διεβάλλετο, ὁ δὲ Φρύνων ἐπὶ τῇ τοῦ παιδὸς προαγωγείᾳ, ὃν ἀπήγαγε Φιλίππῳ· Φωκίων δὲ ὁ Φώκου πολλοῖς χρήματα ἔδωκε καὶ θυγατέρας συνεξέδωκε καὶ πᾶσιν ἀνίει τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοῦ. χρηστὸς οὖν ἐκλήθη κοινῇ ψήφῳ ἐν ἐκκλησίᾳ· δικάζων δὲ ἀεὶ τὴν σῴζουσαν ἔφερεν. ὃ δὲ ἐπὶ Σατύρου φησὶν ὁ Δημοσθένης ἕνεκα τῶν Ἀπολλοφάνους θυγατέρων, τοῦτο εἰς Φωκίωνά τινες ἀναφέρουσι καί φασιν ὅτι λαβὼν αὐτὰς εἰς Ἀθήνας ἤγαγε καὶ ἐξέδωκεν.

φ 770 Φρυνώνδας: τῶν ἐπὶ πονηρίᾳ διαβεβοημένων. ὃς ξένος ὢν κατὰ τὰ Πελοποννησιακὰ διέτριβεν Ἀθήνησιν. Ἀριστοφάνης Ἀμφιάρεῳ· ὦ μιαρὲ καὶ Φρυνώνδα καὶ πονηρὲ σύ. ἐκ τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦσι. κακοήθης ὁ Φρυνώνδας οὗτος καὶ πανοῦργος, μισθοῦ τινας μηχανὰς πραγμάτων ἐπὶ κακοῖς ῥᾳδίως συντιθείς, ὥς φησιν Εὔδημος. καὶ αὖθις· ἀλλ' οἶμαι οὔτε Φρυνώνδας οὔτ' Εὐρύβατος οὐδ' ἄλλος πώποτε τῶν πάλαι πονηρῶν, τοιοῦτος μάγος καὶ γόης.

φ 771 Φρύνωνος: ὄνομα κύριον. οὗτος τῶν δέκα πρέσβεων εἷς ἦν τῶν μετὰ Αἰσχίνου καὶ Δημοσθένους.

φ 772 Φρὺξ ἀνὴρ πληγεὶς ἀμείνων καὶ διακονέστερος: ἐπεὶ δοκοῦσιν ἀργότεροι καὶ νωχελέστεροι εἶναι οἱ Φρύγες οἰκέται.

φ 773 Φρὺξ μηδὲν ἧττον Σπινθάρου: οὗτος ὁ Σπίνθαρος κωμῳδεῖται ὡς βάρβαρος καὶ Φρύξ.

φ 774 Φοιβάδαιον.

φ 775 Φοιβάμμωνος.

φ 776 Φοιβάς: ἡ θεά.

φ 777 Φοιβᾶσθαι: καθαίρεσθαι. καὶ Φοῖβον, τὸ καθαρόν. καὶ Φοῖβαι, αἱ καθαραί.

φ 778 Φοίβη: ἡ ἄμπελος. ἐν Ἐπιγράμμασι· τρισσὸν ὑπ' εὐπετάλοις δῶρον ἔθηκε φοίβαις.

φ 779 Φοίβιος: ὁ Ἀπόλλων.

φ 780 Φοῖβος: καθαρός, ἁγνός, ἢ μάντις· καὶ ἀμίαντος· καὶ ὁ Ἀπόλλων.

φ 781 Φοιδεράτοι: οὕτω καλοῦσι Ῥωμαῖοι τοὺς ὑποσπόνδους τῶν Σκυθῶν.

φ 782 Φοινήεις.

φ 783 Φοινικᾶ: τὸ ἁπλᾶ καὶ διπλᾶ καὶ πολλαπλᾶ καὶ πάντα τὰ τοιαῦτα περισπῶσιν οἱ Ἀττικοί· ἀργυρᾶ, χρυσᾶ καὶ κεραμεᾶ, ἀπὸ τοῦ κεραμεοῦν· καὶ φοινικᾶ, ἀπὸ τοῦ φοινικοῦν.

φ 784 Φοινικελίτης: ὁ ἀπατηλός.

φ 785 Φοινίκειον αἷμα. καὶ Φοινίκειος οἶνος.

φ 786 Φοινίκη: πόλις.

φ 787 Φοινικήϊα γράμματα: Λυδοὶ καὶ Ἴωνες τὰ γράμματα ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος τοῦ εὑρόντος· τούτοις δὲ ἀντιλέγουσι Κρῆτες, ὡς εὑρέθη ἀπὸ τοῦ γράφειν ἐν φοινίκων πετάλοις. Σκάμων δ' ἐν τῇ δευτέρᾳ τῶν εὑρημάτων ἀπὸ Φοινίκης τῆς Ἀκταίωνος ὀνομασθῆναι. μυθεύεται δ' οὗτος ἀρσένων μὲν παίδων ἄπαις, γενέσθαι δὲ αὐτῷ θυγατέρας Ἄγλαυρον, Ἕρσην, Πάνδροσον· τὴν δὲ Φοινίκην ἔτι παρθένον οὖσαν τελευτῆσαι. διὸ καὶ Φοινικήϊα τὰ γράμματα τὸν Ἀκταίωνα, βουλόμενόν τινος τιμῆς ἀπονεῖμαι τῇ θυγατρί.

φ 788 Φοινικίδα· τί φειδόμεσθα τῶν λίθων, οἱ δημόται, μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα; οἷος αὖ μέλας τις ὑμῖν θαυμάλωψ ἐπέζεσεν. ἀντὶ τοῦ μὴ οὐχὶ λίθοις αὐτὸν αἱμάσσειν, ὡς φοινικοῦν αὐτοῦ ποιῆσαι τὸ σῶμα; τὸ δὲ καταξαίνειν ὡς ἐπὶ ἐρίων ἐχρήσατο· διὸ καὶ φοινικίδα εἶπεν, ὡς ἐπὶ ἱματίου. Ἀριστοτέλης δέ φησι χρῆσθαι τοὺς Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους· τοῦτο μὲν ὅτι τὸ τῆς χρόας ἀνδρικόν, τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥεύσεως ἐθίζει καταφρονεῖν. τὸ οὖν ἐν φοινικίδι ἀντὶ τοῦ ἐν τάξει πολεμίων, ἀπὸ τοῦ φορήματος δηλώσειεν ἂν εἰκότως. ἐπεὶ τὸ φοινιχθῆναι, αἱμαχθῆναι. καί, ξαίνει κατὰ νώτου πολλάς. Δημοσθένης. θαυμάλωψ δὲ ὁ διακεκαυμένος.

ἀνθρακεῖς δὲ οἱ Ἀχαρνεῖς. καὶ Ἰώσηπος· κτῆσίν τε τὴν σὴν καὶ τοὺς οἰκείους ἅπαντας εἰς τὸ καταγώγιον ἀποθεμένην ἐγκαθεῖρξαι, πρὸ τῶν θυρῶν ἀνατείνασαν φοινικίδας.

φ 789 Φοινικίδης, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Φύλαρχος, Μισουμένη· ὡς Ἀθήναιός φησιν ἐν τῷ βιβλίῳ τῶν Δειπνοσοφιστῶν.

φ 790 Φοινικικόν: τὸ ψεῦδος. ἀπὸ τῶν κατὰ τὸν δράκοντα καὶ τοὺς Σπαρτοὺς καὶ Κάδμον ψευδῶς λεγομένων.

φ 791 Φοινικικῶν· τάξεων ἀπαλλαγέντες καὶ κακῶν Φοινικικῶν. ἢ ὅτι φοινικὶς χλαμὺς ἦν πολεμική· ἢ ἀντὶ τοῦ ναυτικῶν κακῶν· Φοίνικες γὰρ λέγονται κρατεῖν ἐν ταῖς ναυμαχίαις. ἢ αἱματωδῶν· ἀπὸ τῆς τοῦ αἵματος χροιᾶς. καὶ Ὅμηρος· φοινίσσετο δ’ αἵματι γαῖα.

φ 792 Φοινίκιον ἔρνος, καὶ χρῶμα. καὶ Φοινίκιος ἄνθρωπος.

φ 793 Φοινικιοῦς: ἀντὶ τοῦ πυρρός. περισπᾶται δὲ τῶν εἰς ους ἁπλῶν τῷ λόγῳ. καί ἐστι παρὰ τὴν φοίνικος γενικήν, φοινικόεις, φοινικίοες ἐν ὑπερθέσει, φοινικιοῦς ἐν συναιρέσει.

φ 794 Φοινικολόφου: ξανθολόφου.

φ 795 Φοινικοῦν: ἐρυθρόν, πυρρόν.

φ 796 Φοινίκων ἐγκέφαλοι· Πῶρός φησιν, Ἰνδῶν βασιλεύς· τὰ δὲ ἐμὰ σιτία λάχανα καὶ φοινίκων ἐγκέφαλοι καὶ καρπὸς τῶν φοινίκων, καὶ ὁπόσα μοι ποταμὸς κηπεύει. καὶ Φοινίκων συνθῆκαι· οἱ τὴν Καρχηδόνα κτίσαντες Φοίνικες, ὅτε προσέπλευσαν τῇ Λιβύῃ, ἐδεήθησαν τῶν ἐγχωρίων δέξασθαι αὐτοὺς νύκτα καὶ ἡμέραν· ἐπιτυχόντες δὲ τούτου οὐκ ἐβούλοντο ἀπαλλάσσεσθαι, ὡς συντιθέμενοι νύκτας καὶ ἡμέρας μένειν. διὸ λέγεσθαι τοῦτο ἐπὶ τῶν ἐνεδρευτικῶς συντιθεμένων. τὰ δ’ ὅμοια Δήμων ἐπὶ Μεταποντίνων ἱστορεῖ.

φ 797 Φοινικῶνος.

φ 798 Φοῖνιξ: τὸ δένδρον. καὶ τὸ ὄρνεον. ἐπὶ Κλαυδίου Καίσαρος ἐλθεῖν φασι τοῦτο τοῖς Αἰγυπτίοις διὰ τεττάρων καὶ ν′ καὶ χ′ ἐτῶν. καὶ Φοῖνιξ, ἀντὶ τοῦ φοινικοῦς. Ὅμηρος· ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν. ἐπὶ ἵππου. περὶ οὖν τοῦ ὀρνέου ἱστόρηται, ὅτι ὅταν αὐτῷ τὸ μοιρίδιον ἄγῃ, ἔρχεται εἰς Αἴγυπτον, ὅθεν οὐκ ἴσασιν ἄνθρωποι· καὶ αὐτὸς ἑαυτῷ ποιησάμενος ἐκ κασίας καὶ σμύρνης πυρὰν ἀποθνήσκει. καυθείσης δὲ τῆς πυρᾶς, μετὰ χρόνον ἐκ τῆς σποδοῦ σκώληκα λέγουσι γίνεσθαι· ὅν τινα μεταβάλλειν καὶ γίνεσθαι πάλιν φοίνικα καὶ ἀφίπτασθαι εἰς Αἴγυπτον ἐκεῖθεν ὅθεν ἦλθεν ὁ πρὸ αὐτοῦ φοῖνιξ.

φ 799 Φοινίξω: αἱμάξω, βάψω, πυρώσω. ἀπὸ τοῦ φόνου. ἢ τοῦ φοίνικος· ὅτι πυρρός.

φ 800 Φοίνιος: φόνου καὶ φθορᾶς παραιτία. ἀμφὶ δ’ Ἐριννὺς φοίνιος ἐκ στομάτων μόρσιμον ἧκεν ὄπα. καὶ Φοίνιον ὁμοίως.

φ 801 Φοίνισσα ναῦς. καὶ Φοινίσσω, τὸ βάπτω. καὶ Φοινίττων, βάπτων αἵματι.

φ 802 Φοινός: πυρρός, φόνιος.

φ 803 Φοιτᾷ: παραγίνεται. καὶ Φοιτᾶν, τὸ σχολάζειν. Φιλόστρατος· φοιτᾶν τοῖς μάγοις μεσημβρίας τε καὶ ἀμφὶ μέσας νύκτας φασὶ τὸν Ἀπολλώνιον.

φ 804 Φοιτάδας: τετριμμένας. τήν τε θέσιν τῆς χώρας ἀνεζήτει καὶ φρούρια καὶ φοιτάδας ὁδούς τε καὶ διαστήματα.

φ 805 Φοιτάλμιος.

φ 806 Φοιτητάς: μαθητάς, παραγενομένους. ἐξ οὗ καὶ φοιτᾶν. τὸ σχολάζειν.

φ 807 Φοιτία: ἡ πορεία.

φ 808 Φοῖτος: ἡ μανία.

φ 809

Φοιτῶντα: μεθ’ ὁρμῆς μεμηνότα μαινόμενον· φοῖτος γὰρ ἡ μανία. ἢ περιερχόμενον ἐν ταῖς ποίμναις, διὰ τὴν μανίαν· ἢ ἀναστρεφόμενον ἐν τῇ μανίᾳ.

φ 810 Φυγαδεία: φυγή, ἐξορία. δυεῖν προδήλων ὀλέθρων ὑπαρχόντων, ἠλλάξαντο φυγαδείαν ἀντὶ τούτων ἀΐδιον. οὕτως ἀληθές ἐστι τὸ περιφερόμενον, ὅτι παῦσις τοῦ κακοῦ μεῖζον κακόν. καί, φυγὰς τοῦ ἰδίου ἔθνους. οὗ φυγὰς ὀλίγα πόρρωθεν ἐγεγόνει, ἀπέδειξε βασίλισσα. ἀντὶ τοῦ ἐξόριστος.

φ 811 Φυγγάνει· Σοφοκλῆς· ξυνίημι τάδ’, οὔτι με φυγγάνει. ἀντὶ τοῦ λανθάνει. καὶ αὖθις· ἐπί τινα πύργον ὑψηλὸν καταφυγγάνει.

φ 812 Φυγή· ὀστρακισμὸς φυγῆς διαφέρει. ζήτει ἐν τῷ ὀστρακισμός.

φ 813 Φυγοδέμνιος: παρθένος. ἐν Ἐπιγράμμασι· σώτειρα φυγοδέμνιε κούρα.

φ 814 Φύζα: δειλία, φυγή. καὶ Φυζαλέος, ὁ δειλός. ὠμηστὰν δ’ ἔτραπε φυζαλέον.

φ 815 Φυζακινός: ὁ δειλός.

φ 816 Φυήν: βλάστησιν, αὔξησιν ἡλικίας. κυρτὴ δέ σοι πέφυκε καὶ τῶν ὀρθίων εἶναι δοκούντων ἡ φυὴ τῶν δακτύλων.

φ 817 Φύκη: ᾧτινι τὰς οἰκείας ὄψεις αἱ γυναῖκες χρίουσι. λέγεται δὲ καὶ φυκία, τὰ βρύα. καὶ φυκίς. ἐν Ἐπιγράμμασι· πολλὰ δ’ ἐν αὐτῷ φυκί’ ἀπ’ εὐόρμων εἵλκυσεν αἰγιαλῶν.

φ 818 Φυκία: θαλάσσια ζῷα· ἢ ὁ ἀφρός. ἢ βρύα.

φ 819 Φυκίδα· ἐν Ἐπιγράμμασι· τρίγλαν ἀπ’ ἀνθρακιῆς καὶ φυκίδα σοὶ λιμενῆτιν, Ἄρτεμι, δωρεῦμαι.

φ 820 Φῦκος: τὸ χορτῶδες τῆς θαλάσσης.

φ 821 Φῦλα: ἔθνη. διὰ δὲ δύο λλ σημαίνει τὰ τῶν δένδρων φύλλα. καὶ παροξύνεται.

φ 822 Φυλακή: τὸ τέταρτον μέρος τῆς νυκτός· τετραχῇ γὰρ διῄρητο. καὶ φυλακαὶ τῆς νυκτὸς αἱ διαιρέσεις, καθ’ ἃς οἱ φύλακες τὰς φυλακὰς ἀλλήλοις ἐγχειρίζουσιν.

φ 823 Φυλάκια: παρὰ Ἀλεξανδρεῦσι τὰ ἐκμαγεῖα τῶν γυναικείων μολυσμῶν. καὶ Πολύβιός φησιν· ὁ δὲ κατέσχεν ἀμφότερα τὰ κατεσκευασμένα φυλάκια, πεντήκοντα πόδας διεστῶτα ἀλλήλων.

φ 824 Φύλακος· παρ’ Ἡροδότῳ· κατὰ τοῦτο τῆς ἀκροπόλιος, τῇ οὐδεὶς ἐτέτακτο φύλακος.

φ 825 Φυλακτήριον: τόπος, ἔνθα οἱ φύλακες.

φ 826 Φυλάξαντες: ἐπιτηρήσαντες. Ἡρόδοτος. καὶ Φυλάξασα, καιροφυλακήσασα, εὐκαίρως ἐπιτηρήσασα. Ἀρριανός· ἡ δὲ τὸν πατέρα φυλάξασα ἀποδημοῦντα ὑπισχνεῖται Τατίῳ προδώσειν τὸ φρούριον.

φ 827 Φυλάρχης: δυνάστης. ξυμβάλλει τῷ Τραϊανῷ περὶ Αὐγάρου, ὃς ἦν Ὀσροήνης χώρας δυνάστης· οὕσπερ φυλάρχους ὀνομάζουσιν οἱ ἐκείνῃ, ὅτι καὶ τὰ χωρία αὐτῶν φυλαὶ ὀνομάζονται. καὶ Ἀριστοφάνης· μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες. Φυλή, ὄνομα τόπου. καὶ Φυλάσιοι, οἱ ἐνοικοῦντες.

φ 828 Φύλαρχος, Ἀθηναῖος ἢ Ναυκρατίτης· οἱ δὲ Σικυώνιον· ἄλλοι Αἰγύπτιον ἔγραψαν· ἱστορικός. τὴν ἐπὶ Πελοπόννησον Πύρρου τοῦ Ἠπειρώτου στρατείαν ἐν βιβλίοις κη′· κατάγει δὲ καὶ μέχρι Πτολεμαίου τοῦ Εὐεργέτου κληθέντος καὶ τῆς Βερενίκης τελευτῆς καὶ ἕως τοῦ θανάτου Κλεωνύμου τοῦ Λακεδαιμονίου, ἐπιστρατεύσαντος αὐτῷ Ἀντιγόνου· τὰ κατὰ τὸν Ἀντίοχον καὶ τὸν Περγαμηνὸν Εὐμένη, Ἐπιτομὴν μυθικήν, Περὶ τῆς τοῦ Διὸς ἐπιφανείας, Περὶ εὑρημάτων, Παρεμβάσεων βιβλία θ′.

φ 829 Φύλαρχος: ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ. Δημοσθένης Φιλιππικοῖς.

φ 830

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φυλάσιμος: ὁ ἐκ τοῦ δήμου. καὶ Φυλασσόμενος, προορώμενος, προσκοπούμενος. οὐ μέντοι οὐδ' ἀπέκλινε, φυλασσόμενος μὴ δοκοίη φεύγειν. οὕτω Ξενοφῶν. καὶ Θουκυδίδης. φυλάξαντες τὸν συχνὸν τῆς νυκτὸς ἔφυγον. καὶ Φυλάσσω· αἰτιατικῇ.

φ 831 Φυλαῖος: ὁ ἐκ τῆς Φυλῆς.

φ 832 Φυλέτης: συγγενής, ὁμόφυλος. Ἰώσηπος· ὁ δὲ Σαμψὼν καταβὰς ἐκ τῆς πέτρας ἐν τῇ τῶν φυλετῶν αὑτὸν τέθεικεν ἐξουσίᾳ.

φ 833 Φυλλεῖα: τὰ ἀπολεπίσματα τῶν λαχάνων. Ἀριστοφάνης· εἰς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός. οἷον μεμαραμμένα καὶ εὐτελῆ· τοιαῦτα γὰρ οἱ πτωχοὶ ἐσθίουσι. φυλλεῖα δὲ τὰ τῆς θριδακίνης φύλλα.

φ 834 Φυλείδης: ὁ τοῦ Φυλέως.

φ 835 Φυλή: ὄνομα δήμου παρ' Ἀθηναίοις.

φ 836 Φυλλίς: ἡ τοῦ δένδρου. καὶ Φύλλις, ὁ μουσικός.

φ 837 Φυλή: ἡ φυλὴ καθ' αὑτήν ἐστι μύριοι στρατιῶται. ζήτει ἐν τῷ γεννῆται.

φ 838 Φυλή: Ἰσοκράτης ἐν τῷ Περὶ τῆς εἰρήνης. δῆμός ἐστι Φυλὴ τῆς Οἰνηΐδος φυλῆς. ὁ δὲ Μένανδρος τόπον νομίζει εἶναι Φυλήν. ὁ δὲ Φιλόχορος φρούριον αὐτό φησιν εἶναι. ζήτει ἐν τῷ φυλάρχης.

φ 839 Φυλιστιείμ: οἱ λεγόμενοι Παλαιστῖνοι.

φ 840 Φυλοκρινεῖ: διακρίνει, καταδοκιμάζει περιέργως.

φ 841 Φυλόμαχος: ἀγαλματοποιός.

φ 842 Φύλοπις: μάχη.

φ 843 Φύματα: ψυδράκια.

φ 844 Φύντα: γεννηθέντα. καὶ Φῦναι.

φ 845 Φύξηλις: ὁ φυγάς.

φ 846 Φύξιν: φυγήν.

φ 847 Φυόμενος: γεννώμενος.

φ 848 Φύω: βλαστάνω.

φ 849 Φύραμα: ἁμαρτάνουσιν οἱ λέγοντες τὸν πηλὸν γῆν ὑγρῷ φυραθεῖσαν· τὸ γὰρ φύραμα οὐ διαφορὰ τοῦ πηλοῦ, ἀλλὰ γένος.

φ 850 Φύραμα: στέας.

φ 851 Φύρδην: συγκεχυμένως. φᾶ δὲ σίδαρον παιδὸς ἑοῦ φύρδαν μεστὸν ἔχουσα φόνου.

φ 852 Φύρει: μολύνει, ἢ ἐκβρέχει, ἢ πλύνει.

φ 853 Φυσαλλίδες: οἱ αὐλοί.

φ 854 Φύσασα: ἡ γεννήσασα. καὶ Φύσαντι, γεννήσαντι.

φ 855 Φῦσα: χαλκευτικὸν ἐργαλεῖον. Ὅμηρος· φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων. καὶ ἡ αἰτιατικὴ τὴν φύσην.

φ 856 Φύσαμος: εἶδος κήτους θαλασσίου.

φ 857 Φύσει: βλαστήσει. Ἀριστοφάνης· οὐδὲν ἔστ' ἄμεινον οὐδ' ἥδιον ἢ φῦσαι πτερά.

φ 858 Φύσει: ὅτι οἱ παλαιοὶ ἔλεγον μηδὲν τῶν φύσει μάτην εἶναι. τὰ σχήματα δὲ τὰ τῶν συλλογισμῶν μὴ εἶναι φύσει. οὐκ ἀναγκαῖον δὲ ταῦτα λέγειν χρήσιμα· τὸ δὲ χρησίμου τινὸς χάριν ἔξωθεν ἐπισυμβαίνειν αὐτὰ γινόμενα. οἱ δὲ συλλογισμοὶ οὐχ ὡς σιτία καὶ ποτὰ κατὰ φύσιν ἡμῖν. ἕτεροι

γὰρ οἱ τούτων κανόνες, ἔθη, νόμοι καὶ ἐπιτηδεύματα δημόσια, καὶ καθέκαστον, καὶ κατ’ ἄνδρα ἰδίᾳ. μεταθέσθαι γοῦν ἔξεστιν αὐτὰ καὶ πρὸς τὴν ἐναντιωτάτην μεταβαλεῖν, ὡς ἄν τις ἐθέλοι, δίαιταν. ὅθεν ἐνίοις οὐδὲ τὰ φύσει δοκοῦντα φθαρτικὰ σιτία καὶ δηλητήρια φάρμακα προσενεγκαμένοις ἐφάνη λυπηρά. φασὶ γοῦν τὴν Ἀττικὴν γυναῖκα τοῦ κωνείου καθάπερ λαχάνων ἐσθίειν, καὶ τὸ Ποντικὸν θηρίον, ὅστις ποτὲ ἦν ὁ Μιθριδάτης ἐκεῖνος, ἐκπιόντα γενναίαν κύλικα δηλητηρίου φαρμάκου μὴ διαφθαρῆναι, τῷ κατισχῆσθαι τὸ σῶμα, καθάπερ σίδηρον τῇ βαφῇ, παρὰ τῶν ἀντιπαθῶν, ἃ προσεφέρετο πολλάκις· ὑποπτεύων ὁ βδελυρός, ἀπὸ τῶν υἱῶν ἀρξάμενος, ἅπαντας ἀνθρώπους, ὡς ἐπιβουλεύοντας αὐτῷ μόνῳ διὰ τὴν καλὴν τυραννίδα.

φ 859 Φύσην: τὴν φῦσαν.

φ 860 Φύσιγγες: τὰ ἐν ταῖς κνήμαις ἐκκαύματα. ἢ τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων. ἡ φυσίγγη. ἡ εὐθεῖα Φύσιγξ.

φ 861 Φυσίζῳος: ἡ τὰ πρὸς τὸ ζῆν φύουσα.

φ 862 Φυσικὸς λόγος παρὰ φιλοσόφοις. μετὰ τὸν ἠθικὸν διεξέρχονται περὶ τοῦ φυσικοῦ, τουτέστι περὶ σωμάτων, περὶ ἀρχῶν καὶ στοιχείων καὶ περάτων τοῦ κόσμου καὶ τόπου, κενοῦ· περὶ ἀστέρων, περὶ ἡλίου, περὶ τοῦ ἡγεμονικοῦ· πῶς ὁρῶμεν· τίς ἡ αἰτία τῆς κατοπτρικῆς φαντασίας· περὶ νεφῶν, βροντῶν, ἴριδος. ὅτι τρία εἰσὶν ἐν τοῖς φυσικοῖς πράγμασιν, εἶδος, ὕλη καὶ ἡ αἰτία, καθ’ ἥν ἐστι τὸ εἶδος ἐν τῇ ὕλῃ. καὶ καταγίνονται, φησί, περὶ ταῦτα μέθοδοι πέντε· ἡ φυσική, ἡ κατὰ μέρος τέχνη, ἡ διαλεκτική, ἡ μαθηματική, ἡ πρώτη φιλοσοφία. ἔστι δὲ φυσικοῦ μὲν περὶ πάντων τῶν εἰρημένων τῆς ψυχῆς μερῶν διαλεχθῆναι, καὶ τῆς ὕλης, καὶ τῶν φυσικῶν πραγμάτων, καὶ τοῦ εἴδους τῆς αἰτίας. οἷον ὅτι τῶν οὐρανίων ὕλη, οὐχὶ τὰ τέσσαρα στοιχεῖα, ἀλλὰ ἕτερόν τι σῶμα. πάλιν, τί τὸ εἶδος; ὅτι σφαιρικά. καὶ διὰ τί σφαιρικά; ὅτι πολυχωρητότατον ἐν ἐπιπέδῳ μὲν τῶν ἄλλων σχημάτων ὁ κύκλος, ἐν στερεοῖς δὲ ἡ σφαῖρα. ὡς καὶ ὁ Πλάτων ἐν Τιμαίῳ διὰ τοῦτο σφαιρικὸν γενέσθαι τὸν οὐρανὸν ἀποδέδωκε. καὶ ὁ Ἀριστοτέλης ἀποδίδωσιν αἰτίαν περὶ τοῦ σχήματος τοῦ οὐρανοῦ· τῷ γὰρ ἀϊδίῳ φησὶν ἐσομένῳ. ἀποδίδωσι δὲ καὶ ὁ Πλάτων αἰτίαν ἐκ τῆς σχέσεως, ἣν ἔχει πρὸς τὰ πρὸ αὐτοῦ. προσεχῶς δέ εἰσιν ὑπὲρ τὰ οὐράνια αἱ νοηταὶ οὐσίαι· δεῖ δὲ τὸ αἰτιατὸν ὅτι μάλιστα ὡμοιῶσθαι τῷ προσεχεῖ αἰτίῳ καὶ τούτου εἰκόνα καὶ μίμημα φέρειν. διὰ τοῦτο οὖν, φησί, κύκλῳ κινεῖται ὁ οὐρανός, ὅτι νοῦν μιμεῖται· ἴδιον γὰρ τοῦ νοῦ τὸ πρὸς ἑαυτὸν νεύειν· αὐτὸς γὰρ ὁ ὁρῶν, αὐτὸς ὁ ὁρώμενος· ὁρῶν γὰρ τὰ εἴδη ἑαυτὸν ὁρᾷ, καὶ ἑαυτὸν ὁρῶν τὰ εἴδη τεθέαται· πλήρωμα γάρ ἐστι τῶν εἰδῶν καὶ εἶδος εἰδῶν. ἔχει οὖν ὁ οὐρανὸς τὸ σφαιρικὸν σχῆμα διὰ τὴν κύκλῳ κίνησιν· ταύτην δὲ διὰ τὴν πρὸς τὸν νοῦν ἐξομοίωσιν· καὶ ἄλλως μιμεῖται τὸν νοῦν πανταχοῦ ὄντα· καὶ γὰρ καὶ τὸ σῶμα πανταχοῦ γίνεται. τῷ οὖν πανταχῇ γίνεσθαι τὸ πανταχοῦ ὂν μιμεῖται· τελείωσις γὰρ τῶν χειρόνων ἡ πρὸς τὰ ὑπέρτερα ἐπιστροφή τε καὶ ἐξομοίωσις. οὕτω μὲν ὁ φυσικὸς τῶν φυσικῶν ἀποδώσει καὶ τὸ εἶδος καὶ τὴν ὕλην καὶ τὸ αἴτιον· ὁ δὲ κατὰ μέρος τεχνίτης καὶ αὐτὸς μὲν περὶ τῶν αὐτῶν διαλαμβάνει, διαφέρει δὲ τοῦ φυσικοῦ, ὅτι περὶ μερικόν τι γίνεται πρᾶγμα, οἷον ὁ ἰατρὸς περὶ τὰ ἀνθρώπεια σώματα, ὁ τέκτων περὶ λίθους καὶ ξύλα. ἀποδώσει δὲ καὶ οὗτος τὸν ὁρισμόν, περιλαμβάνων καὶ τὸ εἶδος καὶ τὴν ὕλην καὶ τὴν αἰτίαν. διαφέρει δὲ κατὰ ἄλλους τρόπους.

φ 863 Φύσις· φύσις ἐστὶν ἡ ἁπλῶς τῶν ὄντων κίνησις, πεντάτροπος δὲ αὕτη· ἡ νοερά, ὡς ἐπὶ Ἀγγέλων, ἐξ αὐτῶν τῶν νοημάτων ἀλλήλοις συγγινομένων. λογική, ὡς ἐπὶ ἀνθρώπων δι’ ὀνομάτων καὶ ῥημάτων τὰ ἀφανῆ τῆς ψυχῆς κινήματα πρὸς τοὺς ἐκτὸς δημοσιεύουσα· αἰσθητικὴ δὲ ἡ ἐν τοῖς ἀλόγοις θεωρουμένη· πρὸς γὰρ τῇ θρεπτικῇ καὶ αὐξητικῇ καὶ γεννητικῇ δυνάμει καὶ τὴν αἰσθητικὴν κέκτηται· φυτικὴ δὲ ἡ ἐν τοῖς φυτοῖς· κινοῦνται γὰρ καὶ αὐτὰ κατὰ τὴν θρεπτικὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ αὐξητικὴν καὶ γεννητικὴν δύναμιν· ἄψυχος δέ, ὡς ἐπὶ τῶν λίθων, καθότι καὶ αὐτοὶ κινοῦνται κατὰ τὸ ποιὸν καὶ κατὰ τὸ ποῦ· καὶ κατὰ τὸ ποιὸν μέν, κατὰ τὸ θερμαίνεσθαι καὶ ψύχεσθαι, κατὰ τὸ ποῦ δέ, κατὰ τὴν ἐκ τόπου εἰς τόπον ἑτεροκίνητον μετάθεσιν.

φ 864 Φύσις ἐστὶν ἥ τε συνέχουσα τὸν κόσμον καὶ ἡ φύουσα τὰ ἐπὶ τῆς γῆς. ἢ οὕτως· ἕξις ἐξ αὑτῆς κινουμένη κατὰ σπερματικοὺς λόγους, ἀποτελοῦσά τε καὶ συνέχουσα τὰ ἐξ αὑτῆς ἐν ὡρισμένοις χρόνοις καὶ τοιαῦτα δρῶσα, ἀφ' οἵων ἀπεκρίθη. ταύτην δὲ τοῦ συμφέροντος στοχάζεσθαι, ὡς δῆλον ἐκ τῆς οὐρανοῦ δημιουργίας. ἢ φύσις ἐστὶν ἀρχὴ τῶν ὅλων, τῆς ἑκάστου τῶν ὄντων κινήσεώς τε καὶ ἠρεμίας. οἷον ἡ γῆ κινεῖται μὲν κατὰ τὸ βλαστάνειν καὶ ζῳογονεῖν καὶ τὸ ὅλως ἀλλοιοῦσθαι· ἠρεμεῖ δὲ κατὰ τὴν ἐκ τόπου εἰς τόπον μετάστασιν, ἀκίνητος οὖσα παντελῶς καὶ ἀπόρευτος. τὴν οὖν ἀρχὴν τῆς τοιαύτης κινήσεώς τε καὶ ἠρεμίας οὐσιωδῶς, ἤγουν φυσικῶς, καὶ οὐ κατὰ συμβεβηκὸς τῇ γῇ ἐνυπάρχουσαν, φύσιν καλοῦσιν. οὐ τὴν κίνησιν δὲ αὐτὴν καὶ τὴν ἠρεμίαν τῶν πραγμάτων φύσιν εἰρήκασιν, ἀλλὰ τὴν ἀρχήν, τουτέστι τὴν αἰτίαν, καθ' ἣν οὐ κατὰ συμβεβηκός, ἀλλ' οὐσιωδῶς αἱ οὐσίαι κινοῦνται καὶ ἠρεμοῦσιν. ὅταν δὲ λέγῃ ὁ Ἀπόστολος, καὶ ἦμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί, οὐ κατὰ τοῦτο τὸ σημαινόμενον τῆς φύσεως λέγει· ἐπεὶ τοῦ ποιήσαντος ἂν ἦν τὸ ἔγκλημα· ἀλλὰ τὴν ἔμμονον καὶ κακίστην διάθεσιν καὶ χρονίαν, πονηρὰν συνήθειαν.

φ 865 Φύσκη: τὸ παχὺ ἔντερον, εἰς ὃ ἐμβάλλεται ἄλευρα καὶ κρέα καὶ μάττουσιν· ἐξ οὗ γίνεται ὁ ἀλλᾶς.

φ 866 Φυσκητόεντα.

φ 867 Φυσόβαθρον: τὸ τοῦ χαλκέως.

φ 868 Φυστὴ μάζα· καὶ τὸ γύναιόν μ' ἐπιθωπεῦσαν φυστὴν μάζαν προσενέγκῃ. φύστη ἐνὶ γρώνῃ μασσομένη παλάμαις.

φ 869 Φυσῶ: τὸ πνέω, τὸ ἐκ προχείρου πράττω. Ἀριστοφάνης· φυσάτω πάππους παρ' ἡμῖν, καὶ φανοῦνται φάτορες.

φ 870 Φυτά: τὰ δένδρα.

φ 871 Φυταλιῆς: ἀμπελοφύτου γῆς.

φ 872 Φυταλίζει: φυτεύει, πλησιάζει.

φ 873 Φυτάλιμος: ὄνομα κύριον.

φ 874 Φυτάλμιος: ἀπὸ φύτλης. ἀπὸ γενέσεως, καὶ ἐξ ἀρχῆς. ἀλαῶν ὀμμάτων. ἄρα καὶ ἦσθα φυτάλμιος. οὕτω Σοφοκλῆς.

φ 875 Φυτεία: τῶν δένδρων.

φ 876 Φύττειον: ὄνομα πόλεως.

φ 877 Φυτηκόμος: ὁ φυτοκόμος, ὁ φυτουργός. καὶ ὁ σύνδενδρος τόπος. διὰ τὸ τοῖς φυτοῖς κομᾶν.

φ 878 Φυτικαί· φυτικαὶ δυνάμεις τρεῖς τῆς ψυχῆς, θρεπτική, αὐξητική, γεννητική. φυτικαὶ δὲ καλοῦνται, διότι αὗται μόναι ἐν τοῖς φυτοῖς ὁρῶνται. ἐσμὲν οὖν καὶ ἄνθρωποι καὶ ζῷα καὶ ἔμψυχα. καὶ ὡς μὲν ἄνθρωποι τὰς λογικὰς δυνάμεις ἔχομεν, ὡς δὲ ζῷα τὰς ἀλόγους, ὡς δὲ ἔμψυχα τὰς φυτικάς. ἔμψυχα γὰρ λέγομεν καὶ τὰ φυτά· ἐμψύχων γὰρ τὸ τρέφεσθαι καὶ αὔξεσθαι καὶ γεννᾶν ὅμοια ἑαυτοῖς. λέγονται δὲ αὐτὰ καὶ ζῆν καὶ τεθνάναι· ἡ δὲ ζωὴ καὶ ὁ θάνατος παρουσίᾳ καὶ ἀπουσίᾳ γίνεται ψυχῆς. ὅσα μὲν οὖν ἔχουσι τὰς κρείττους ζωάς, ἐξ ἀνάγκης καὶ τὰς καταδεεστέρας ἔχουσιν· οὐκέτι δὲ καὶ ἀνάπαλιν. οὐ γὰρ δυνατὸν τὰς λογικὰς ἔχειν δυνάμεις, μὴ πρότερον ἐσχηκότας τὰς καταδεεστέρας. ἀμέλει καὶ τῶν αἰσθήσεων οὐκ ἔστι μετασχεῖν τῆς κρείττονος τὸν μὴ μετασχόντα τῆς χείρονος. ὅσα γοῦν μετέχει ὄψεως, ταῦτα καὶ ἀκοῆς καὶ τῶν λοιπῶν, καὶ ὅσα ἀκοῆς, ταῦτα καὶ ὀσφρήσεως καὶ γεύσεως καὶ ἁφῆς. οὐχ ὅσα δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀσφρήσεως καὶ γεύσεως καὶ ἁφῆς, πάντως καὶ ὄψεως· ὥσπερ ὁ ἀσπάλαξ· οὐδ’ ὅσα ἀφῆς, ταῦτα καὶ τῶν ἄλλων· οἷον οἱ σπόγγοι ἁφῆς μετέχουσιν, οὐδεμιᾶς δὲ τῶν αἰσθήσεων ἄλλης. ὥστε οὐκ ἔστι μετασχεῖν τῆς κρείττονος τὸν μὴ τῆς ἐλάττονος μετασχόντα. τοῦτο δὲ οὐχ ὅτι δέονται τῶν χειρόνων αἱ κρείττους, ἵνα ὑποστῶσιν· ἀλλὰ τοὐναντίον τὸ σῶμα οὐ δύναται μετασχεῖν τῶν κρειττόνων, μὴ πρότερον μεταλαβὸν τῶν καταδεεστέρων.

φ 879 Φύτλη: γενέα, φυλή.